Ἐξοδ. λδ'. καὶ αὐτὸν τὸν Μωϋσῆν, τὸν θεράποντα αὐτῷ, καὶ φίλον, ὁπῶ τὸν ἔβλεπε πεειστότερον ἀπὸ ὅλους, καθὼς τῷ ἔλεγεν ὁ ἴδιος Θεός. „οἶ„δά σε παρὰ πάντας, καὶ χάειν ἔχεις παρ' ἐμοί μήτε.“ καὶ αὐτὸς, λέγω, ὁ Μωϋσῆς ἠξιώθη, ὁ ἐκλεκτὸς τῷ Θεῷ, ὁ φίλος, ὁ ἠγαπημένος τόσον, ὁπῶ σόμα μὲ σόμα ὡμιλῶσε μὲ τὸν Θεὸν, καὶ δεύτερος Θεὸς ἔγινεν ἐπάνω εἰς τὸν Φαραὼ, αὐτὸς ὁπῶ ἠξιώθη νὰ ἰδῇ τὴν δόξαν τῷ Θεῷ, ὡς ἦν δυνατὸν ἀνθρώπῳ ἰδεῖν· καὶ μαρτυρεῖ τὸ τύπωμα τῷ σώματος αὐτῷ, ὁπῶ σώζεται μέχει τῆς σήμερον, εἰς ἐκείνην τὴν τρύπαν τῆς πέτρας, ὅπου τὸν ἔβαλεν ὁ Θεός· καθὼς φαίνεται εἰς τὸ ἴδιον Κεφάλαιον τῆς Ἐξόδου, ὅπου τῷ λέγει ὁ Θεός· „Καὶ „θήσωσε εἰς ὀπὴν τῆς πέτρας, καὶ ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρό„σωπόν μου οὐκ ὀφθήσεταί σοι· ὃ γὰ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν „μου, καὶ ζήσεται.“ Ὁ τοιοῦτος λοιπὸν καὶ τηλικοῦτος ἅγιος Προφήτης, ὁπῶ δὲν ἐσάθηκεν ἄλλος ὅμοιος αὐτῷ, καθὼς τὸν μαρτυρεῖ ἡ Βίβλος
Δευτ. λδ'. τῷ Δευτερονομίου. „Καὶ οὐκ ἀνέστη (λέγει) ἔτι Προφήτης ἐν Ἰσραὴλ „ὡς Μωϋσῆς, ὃν ἔγνω Κύειος αὐτὸν πρόσωπον κατὰ πρόσωπον.“ δὲν ἠξιώθηκε νὰ ὑπάγῃ εἰς τὴν γῆν τῆς ἐπαγγελίας· διατί; διὰ τὸ ὕδωρ

ὕδωρ τῆς ἀντιλογίας. Ὅτι καθὼς φαίνεται εἰς τὴν Βίβλον τῶν Ἀριθ- Ἀριθ. κ.
μῶν, πεειτειγυείζοντας τοὺς Ἑβραίους ὁ Μωϋσῆς εἰς τὴν ἔρημον διὰ προσάγματος Θεῦ, ὡς εἴπομεν ἄνωθεν, ἔφθασαν εἰς ἕνα τόπον λεγόμενον Κάδης, καὶ μὴν εὐείσκοντες νερὸν νὰ πίωσιν, ἄρχησε πάλιν ὁ ἀχάειστος καὶ ἀγνώμων λαὸς τῶν Ἑβραίων νὰ γογγύζῃ καὶ νὰ ἀδημονῇ μεγάλως κατὰ τῷ Θεῦ, καὶ τοῦ Μωϋσέως· διὰ τὸ ὁποῖον ὁ Μωϋσῆς, ὡς ἄνθρωπος καὶ αὐτὸς, ἐβαρέθη πολλὰ κατὰ τῷ λαῷ τότε, βλέπωντας τὴν τόσην ἀχαεισίαν, τόσον ὁπῶ ἔπεσε καὶ αὐτὸς τρόπον τινὰ εἰς ἀπισίαν· καὶ φέρωντας τὸν λαὸν εἰς μίαν πέτραν, ἐκτύπησεν αὐτὴν μετὰ θυμοῦ, ὁμοῦ μὲ τὸν ἀδελφόν του τὸν Ἀαρὼν, λέγοντες· μὴ νὰ δυνώμεθεν ἀπ' αὐτὴν τὴν πέτραν νὰ σᾶς δώσωμεν νερόν; καὶ φαίνεται ἀπὸ τὰ λόγια τῦτα πῶς δὲν ἐπίσευσαν εἰς τὰ λόγια τῷ Θεῷ ὁπῶ τοὺς εἶπεν, ὅτι νὰ βαρέσῃν τὴν πέτραν, καὶ νὰ εὐγάλῃ νερόν. Διὰ τῦτο τοὺς εἶπεν ὁ Θεός· ἐπειδὴ καὶ δὲν ἐπιστεύσετε πῶς ἡ πέτρα θέλει εὐγάλει νερὸν, διὰ τῦτο δὲν θέλετε ἐλθῇ μήτε καὶ ἐσεῖς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Ὠνόμασε δὲ ὁ Θεὸς τὸ ὕδωρ ἐκεῖνο, ὕδωρ τῆς Ἀντιλογίας· ὅθεν φθαίνοντες εἰς ἕνα ὄρος λεγόμενον Ὦρ, λέγει ὁ Θεὸς πρὸς τὸν Μωϋσῆ, ἔπαρε τὸν ἀδελφόν σου τὸν Ἀαρὼν, καὶ Ἐλεάζαρ τὸν υἱόν του, καὶ ἀνεβῆτε εἰς τὸ ὄρος, καὶ εὔγαλε τὴν Ἱερατικὴν στολὴν, ὁπῶ φορεῖ ὁ Ἀαρὼν, καὶ ἔνδυσον αὐτὴν Ἐλεάζαρ τὸν υἱόν του, νὰ ἱερατεύῃ αὐτὸς αὐτὶ τῷ πατρός αὐτῷ, καὶ ὁ Ἀαρὼν ἂς ἀποθαίνῃ ἐπάνω εἰς αὐτὸ τὸ ὄρος Ὦρ. Καὶ ἔτω κατὰ τὴν προσαγὴν τῷ Θεῷ ἐποίησεν ὁ Μωϋσῆς, καὶ ἀπόθανεν ὁ Ἀαρὼν ὕστερα ἀπὸ σαράντα χρόνους, ἀφ' ὅ ἐλευθερώθηκαν ἀπὸ τὴν Αἴγυπτον, χρόνων ὑπάρχων, ρκγ'. καὶ ἔκλαυσαν οἱ Ἑβραῖοι τὸν Ἀαρὼν τελαύτα ἡμέρας. Ἐρχόμενος δὲ ὁ Μωϋσῆς παρεμπορὸς μὲ τὸν λαὸν τῶν Ἑβραίων, ἔφθασαν ἀντικρυ τῆς Ἰεειχώ· καὶ ἐκεῖ τῷ λέγει ὁ Θεός· ἀνέβα εἰς τὴν κορυφὴν τῷ ὄρους Ναβαὼ, καὶ ἴδε τὴν γῆν τῆς ἐπαγγελίας, τὴν ὁποίαν ὤμοσα τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, λέγων· τῷ σπέρματι ὑμῶν δώσω αὐτήν· καὶ εἰς αὐτὴν νὰ μὴν εἰσέλθῃς διὰ τὴν ἀντιλογίαν σου, καθὼς καὶ Ἀαρὼν ὁ ἀδελφός σου, ἀλλ' εἰς αὐτὸ τὸ ὄρος νὰ ἀποθαίνῃς καὶ σύ. Λέγει ὄν ὁ Μωϋσῆς· καὶ ποῖος νὰ ὑπάγῃ μετὰ τῷ λαῷ σου; καὶ ποῖον διοείζεις ἡγούμενον καὶ ὁδηγὸν τῷ λαῷ σου Κύειε; Λέγει τῷ ὁ Θεός· ἔπαρε Ἰησοῦν τὸν τῷ Ναυῆ, καὶ κατάσησον αὐτὸν ἔμπροσθεν παντὸς τῷ λαῷ ἡγούμενον καὶ ἄρχοντα αὐτῶν, ἀντὶ σοῦ, καὶ ἔσομαι μετ' αὐτῷ, καθὼς ἤμην καὶ μετὰ σοῦ. Ἐπῆρε λοιπὸν ὁ Μωϋσῆς τὸν Ἰησοῦν υἱὸν τῷ Ναυῆ, καὶ τὸν ἔφερεν ἔμπροσθεν τῷ Ἱερέως Ἐλεάζαρ, καὶ ὅλου τῷ λαῷ τῶν Ἑβραίων, καὶ ἐπέθηκεν ἐπάνω αὐτῷ τὰς χεῖρας αὐτῷ, καθὼς τῷ εἶπεν

ὁ

ὁ Θεὸς, ϗ ἐχειροτόνησεν αὐτὸν Ἡγούμενον ϗ Ἄρχοντα, ϗ στρατηγὸν παντὸς τοῦ λαοῦ, ϗ ἐσάθη ϗ ἐδίδαξε, ϗ ἐνυθέτησε τὸν λαὸν, ϗ ἔκαμε τὴν δευτέραν ᾠδὴν, τὸ, Πρόσεχε Οὐρανὲ, ϗ λαλήσω· ἔπειτα αὐέβηκεν εἰς τὸ ὄρος Ναβαὺ, ὁποῦ εἶναι ἀπεύαντι τῆς Ἱεριχὼ, ϗ ἐκεῖ ἐτελεύτησε, χρόνων ὑπάρχων, ρκ΄. Καὶ καθὼς λέγει ἡ Γραφὴ, ϗδεὶς οἶδε τὸν τόπον, ὅπου ἐτάφη ὁ Μωϋσῆς. Λέγει δὲ ϗ ὁ Ἰώσηπος, ὅτι ἔγινε σύνεφον καὶ σκότος εἰς τὸν τόπον ἐκεῖνον, ἵνα μὴ ἴδῃ τινὰς τὸ σῶμα τοῦ Μωϋσέως ποῦ τέθαπται. Ἔκρυψέ το δὲ ὁ Θεὸς ἀπὸ τοὺς Ἑβραίους, διὰ νὰ μὴ τὸ θεοποιήσουν· ἐπειδὴ ἦσαν εὔκολοι εἰς τὸ νὰ κάνουσι Θεοὺς νὰ προσκυνοῦσιν. Ἔκλαυσαν ἓν οἱ Ἑβραῖοι τὸν θάνατον ϗ τὴν στέρησιν τοῦ Μωϋσέως σαράντα ἡμέρας· ϗ μετὰ τὸ πένθος, ἐπῆρεν ὁ Ἰησοῦς τοῦ Ναυῆ τὸν λαὸν ὅλον τῶν Ἑβραίων, ϗ ἀπέρασαν τὸν Ἰορδάνην, ϗ ὑπῆγαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, μὲ νίκαις ϗ θριάμβους πολλούς.

Γώσηπ.

Τοῦτος εἶναι ὁ βίος ϗ ἡ πολιτεία τοῦ ἁγίου ἐνδόξου μεγάλου Προφήτου Μωϋσέως τοῦ Θεόπτου, Ἀδελφοὶ ἐν Χριστῷ ποθεινότατοι. αὐτὰ εἶναι τὰ εὔδοξα αὐτοῦ κατορθώματα, τὰ ὁποῖα συνελέξαμεν ἀπὸ τὰ πολλὰ ἐκεῖνα, ὁποῦ φαίνονται γεγραμμένα εἰς τὴν παλαιὰν Γραφὴν, ϗ ἐγράψαμεν αὐτὰ συντόμως, ϗ εἰς πεζὴν φρᾶσιν, εἰς πληροφορίαν ϗ ὠφέλειαν τοῦ Χριστωνύμου πληρώματος. Δέξασθε ἓν ταῦτα εὐμενῶς Ἀδελφοὶ, ϗ δοξάσατε τὸν Θεὸν, τὸν ποιοῦντα μεγάλα ϗ θαυμαστὰ, εὐδοξάτε ϗ ἐξαίσια, τιμῶντες ϗ τὸν αὐτοῦ θεράποντα Προφήτην Μωϋσῆν. Καὶ ἐπαύω εἰς ὅλα, ἰδέπε καλὰ, ὅτι τοιοῦτος Ἅγιος, ϗ μέγας Προφήτης, διὰ μικρὰν πλημμέλειαν, ὁποῦ ἐπλημμέλησε ϗ αὐτὸς ὡς ἄνθρωπος, διὰ τὴν ἀντιλογίαν, λέγω, ὁποῦ ἔκαμεν εἰς τὸν Θεὸν, ϗ δὲν ἐπίστευσε τὰ λόγια ὁποῦ τοῦ εἶπε, πῶς θέλει εὐγάλῃ ἡ πέτρα νερὸν, ἀλλ' ἐκτύπησεν αὐτὴν μὲ θυμὸν μεγάλον, διὰ τοῦτο δὲν τὸν ἠξίωσεν ὁ Θεὸς νὰ ὑπάγῃ εἰς τὴν γῆν τῆς ἐπαγγελίας. ϗ μὲ ὅλον ὁποῦ ἔπεσε καὶ ἐπαρακάλεσε τὸν Θεὸν νὰ τοῦ συγχωρήσῃ, δὲν τὸν ἐσυγχώρησε. Καὶ τοῦτο εἶναι, ὁποῦ καίει ϗ τὸν μέγαν Βασίλειον νὰ θαυμάζῃ πολλὰ, λέγωντας· „Ὅταν ἴδω Μωσέα τὸν „ τοῦ Θεοῦ θεράποντα, τὸν μέγαν ἐκεῖνον, τὸν τοσαύτης μὲν καὶ τη„ λικαύτης ἀξιωθέντα παρὰ Θεοῦ τιμῆς, ὕστω δὲ παρ' αὐτοῦ πολλάκις „ μαρτυρηθέντα, ὡς ἀκοῦσαι· Εὕρηκάσε παρὰ πάντας, καὶ εὕρηκας „ χάριν ἐνώπιόν μου, τοῦτον ὅταν ἴδω ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας, „ ἴσωσαν δὴ πάντες, ὅτι δι' ἄδενός ἑτέρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ „ γογγύζοντι δι' ἀπορίαν ὕδατος· Μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξω „ ὑμῖν ὕδωρ; τότε μόνον εὐθὺς ἀπελπὶν δεχόμενον, εἰς τὴν γῆν „ τῆς ἐπαγγελίας οὐκ εἰσελεύσῃ, ἥτις ἦν τότε τῶν προὸς Ἰουδαίους ἐ-

Βασίλειος ἐν τῇ Ἀσκητικ.

„ παγ-

„ παγγελιῶν τὸ κεφάλαιον. Ὅταν ἓν ἴδω τοῦτον παρακαλοῦντα καὶ „ μὴ συγχωρούμενον, ὅταν ἴδω μηδεμιᾶς συγγνώμης, διὰ τοσαῦτα „ κατορθώματα, ἐπὶ τῷ βραχεῖ ἐκείνῳ ῥήματι καταξιούμενον, ὄντως „ μὲν ὁρῶ Θεοῦ ἀποτομίαν, κατὰ τὸν Ἀπόστολον. ὄντως δὲ ἐκεῖνο ἀ„ ληθὲς εἶναι πείθομαι, τὸ, εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρ„ τωλὸς ϗ ἀσεβὴς ποῦ φανεῖται"; Βλέπετε Ἀδελφοὶ τί λέγει ὁ Ἅγιος; Τώρα λέγει βέβαια καταπείθομαι ἐκεῖνο, ὁποῦ εἶναι γεγραμμένον. εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς ϗ ἀσεβὴς ποῦ φανεῖται; Ὁπόταν βλέπω, πῶς αὐτὸς ὁ μέγας ϗ θαυμαστὸς Προφήτης Μωϋσῆς, ἐπὶ βραχεῖ ῥήματι, διὰ ἕνα λόγον, διὰ ἕνα μικρὸν σφάλμα, ὁποῦ ἔσφαλε ϗ αὐτὸς ὡς ἄνθρωπος, ϗ ἀντιλόγησε τοῦ Θεοῦ, ὄχι μόνον παρακαλοῦντα δὲν τὸν ἐσυγχώρησεν ὁ Θεὸς, ἀλλὰ μήτε εἰς τὴν γῆν τῆς ἐπαγγελίας δὲν τὸν ἠξίωσε νὰ ὑπάγῃ· ἂς λάβωμεν λοιπὸν ϗ ἡμεῖς ἀπὸ τοῦτο παράδειγμα· ἂς φοβηθῶμεν τὸ βάρος τῆς ἀντιλογίας, ϗ ἂς μὴν ἀντιλέγωμεν εἰς τοῦ Θεοῦ τὰς παραγγελίας. ϗ μάλισα ὅσοι ἐλάβομεν ϗ ἔχομεν ἀπὸ τὸν Θεὸν κανεὰ χάρισμα, κἀμμίαν ἐξουσίαν ϗ προσασίαν λαοῦ· ὅτι βέβαια διὰ τοῦτο καὶ μόνον δὲν ἐσυγχώρησεν ὁ Θεὸς τοῦ Μωϋσέως τὸ ἔγκλημα τὸ μικρὸν ἐκεῖνο, διατὶ αὐτὸς μόνος ἔλαβε τὴν τόσην χάριν, ϗ τιμὴν ἐκείνην ἀπὸ τὸν Θεὸν, ὁποῦ ἄλλος κανεὶς δὲν τὴν ἔλαβε, νὰ ἀξιωθῇ νὰ ὁμιλῇ στόμα μὲ στόμα μὲ τὸν Θεὸν, καθὼς ὁμιλεῖ φίλος μὲ φίλον. ἔπειτα αὐτὸς ὁ φίλος τοῦ Θεοῦ, αὐτὸς ὁ ἐκλεκτὸς ϗ ξεχωρισὸς ἀπὸ ὅλους, νὰ φανῇ τρόπον τινὰ ἄπιστος ϗ ἀχάριστος, ἐκακοφάνη τοῦ Θεοῦ τόσον, ὁποῦ τοῦ ἐφάνη μεγαλήτερον τὸ ἔγκλημα αὐτοῦ, παρὰ τὰ πολλὰ ἐγκλήματα τῶν Ἰουδαίων. Ὥστε Ἀδελφοὶ τὸ ἔγκλημα ἑνὸς ἐξουσιαστοῦ, ἑνὸς αὐθέντου, ἑνὸς προστάτου ϗ ποιμένος, εἶναι μεγαλήτερον ἐμπρὸς εἰς τὸν Θεὸν, παρὰ τὰ ἐγκλήματα τῶν ἄλλων· τὸ ἁμάρτημα τῶν ἀρχόντων εἶναι βέβαια μεγαλήτερον ἀπὸ τὰ ἁμαρτήματα τῶν ἀρχομένων. Ὅθεν ἂς λάβωμεν ὅλοι ϗ ἄρχοντες ϗ ἀρχόμενοι, ϗ ἐξουσιασαὶ ϗ ἐξουσιαζόμενοι παράδειγμα, ἂς λάβωμεν φόβον, ἂς φοβηθῶμεν τὴν δικαιοσύνην τοῦ Θεοῦ, ϗ ἂς φυλάττωμεν καλὰ τὰς ἁγίας αὐτοῦ Ἐντολὰς, καὶ ἂς μὴν ἀντιλέγωμεν εἰς ἐκεῖνα, ὁποῦ εἶναι γεγραμμένα εἰς τὰς ἁγίας Γραφάς· ἂς μὴ λέγωμεν διατί τοῦτο; καὶ διατί ἐκεῖνο; ἀλλ' ἐν ἁπλότητι καρδίας ἂς πιστεύωμεν, καὶ ἂς καιώμεν τοῦ Θεοῦ τὰ θεῖα θελήματα, διὰ νὰ ἀξιωθῶμεν νὰ ὑπάγωμεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, νὰ ἀπολαύσωμεν τὰ αἰώνια ἀγαθὰ τῆς οὐρανίου Βασιλείας. Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, ϗ τὸ κράτος, ϗ ἡ τιμὴ ϗ ἡ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, ϗ

καὶ τῷ παναγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν ἀπελευτήτων αἰώνων. Ἀμήν.

Ὠδὴ ζ'. Ἔκνοον φρόσαγμα τυραννε.

Σὲ τὸν ἐγκάρσιον, θεασάμενος Μωσῆ, ὄφιν ἐσήλωσας, ἄψυχον ποτὲ ἐν τῇ ἐρήμῳ θεραπευτήν, τὸν σὸν λαὸν τὸν ἀγνώμονα, γυμνάζων ἐντεῦθεν, εἰς φροσκύνησιν τῶ Σταυρωθέντος, καὶ τὸν ὄφιν κτείναντος, καὶ σώσαντος τοὺς ψάλλοντας, ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ταύτην τὴν ποίμνην σε, σκηνῆς τῆς παλαιᾶς ὄσαν ἀντίτυπον, σῶζε πειρασμῶν, καὶ πολυτρόπων ἐξ ἀνάγκων, τειχίζων ταύτην τῇ μεσιτείᾳ σε, καὶ τῇ ἐποπτείᾳ Μωσῆ πάνσοφε. καὶ γὰρ ἐνταῦθα τῷ Θεῷ ὁμίλησας, καὶ ψάλλων διετέλεσας, ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἴλεων ἔργασαι, εὐχαῖς σε τὸν Χειρὸν Θεομακάριστε· ὃν ἐν τῷ Θαβὼρ Θεὸν ἀπήγγειλας ἀληθῆ, καὶ τὴν λαχοῦσάν σοι ποίμνην φύλαξον, ὡς πάλαι λαόν σε ἐν μέσῳ ἔστησας, κεῖμα θανάτου παραπικραίνοντος, καὶ ψάλλειν μὴ συνήσαντος, ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ὅτε ἑώρακας, τὴν πάλαι Ἰακὼβ μακαριώτατε, ἔγνωκας Θεὸν μετὰ ἀνθρώπων εἰλικρινῶς, καὶ τὸ λαῶ σε τὴν ἔννοιαν χωλάναντα εἶδες· διὸ εὔθυνον ἡμῶν τείβους, πρὸς ζωὴν εὐάρεστον, καὶ σῶσον ἀναμέλποντας, ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Τῇ ἁπλότητι παμμάκαρ τῆς καρδίας σε, καὶ καθαρότητι, τῆς ἱερᾶς σε ψυχῆς, ἐμφόβως πρὸς Κύριον, ἔφης εἰ ἔγνως με, νῦν παράπαντας, Λόγε γνωστός μοι φαίνηθι, ὅπως ἴδω σε τὴν δόξαν.

Ἠδυνθείς σε τῆς ψυχῆς τῇ καθαρότητι, σὲ κατενώπιον, μάκαρ παντὸς τοῦ λαοῦ, Θεὸς τῆς φωνῆς αὐτοῦ, ἀκούειν ἴσησιν, ὡς αἰδέσιμον, πᾶσιν ὁρῶσι δείξησε, καὶ φεικτὸν τὸν αὐτοῦ μύσην.

Νομοθέτης παραδόξων δυσεφίκτων τε, Θεομακάριστε, διαταγμάτων αὐτοῦ, Θεός σε ἀνέδειξε, καὶ εἰς ἐπίγνωσιν, θείας χάριτος, καθηγησάμενον εὔδοξε, τὸν λαὸν αὐτοῦ ἐμφρόνως. Θεοτοκίον.

Πικρογόνους ἁμαρτίας σὺ μετέβαλες, μόνη κυήσασα, τὸν γλυκασμὸν τοῦ παντός· σὲ γὰρ προετύπωσεν, ἡ ῥάβδος Παώαγνε, ἡ γλυκάνασα, πάλαι Μερρᾶς τὰ νάματα, ἐν χειρὶ τῇ τοῦ Μωσέως. Κατάβασία. Ἔκνοον φρόσαγμα τυραννε.

Ὠδὴ ἡ. Εὐλογεῖτε παῖδες.

Νεύματι ὁ πάντων θείκως φέρων Ἅγιε, σὲ προενδοὺς ἐκ μήτρας, ἡγίασέ σε, θέμενος ἀρχετυπίαν, ἐναρέτου βίου, ἐν μετεώρῳ τῆς

τῆς γῆς. ὅθεν ἁρμονίαν πλουτοῦντες ἀναβοῶμεν, ὕμνον τερπάγιον εἰς τοὺς αἰῶνας.

Αἵματος ἀθῴως χεομένου μακάριε, καὶ τῶν βρεφῶν ἀδίκως ἀναιρεμένων, ἐκ τυραννικῆς αὐοίας, τῆς μητρὸς ὠδῖνας, λύεις τικτόμενος, καὶ τῆς Ἐκκλησίας τὸ βάπτισμα διαγράφεις, ἐν τῷ ἐκτίθεσθαι παρὰ τὸ ὕδωρ.

Ὀβόλον ὄφιν τὸν τὴν Εὔαν πτερνίσαντα, ἐν τῇ ἐρήμῳ πάνσοφε θεαμβεύεις, χάλκεον αὐτὸν συλώσας· τὰς γὰρ χαμαιζήλους ὁρμὰς τοῦ σώματος, διὰ ὑπερβαλλούσης ἀσκήσεως ἀποκτείνας, ζωὴν διήνυσας ἀραιόδρομον. Θεοτοκίον.

Νέμοις σαῖς φρεσβείαις τῆς εἰρήνης τὸν Ἄγγελον, ὡς τὸν λαόν σε πάλαι πειφρυάττοντα, ταύτην τὴν σεπτήν σε ποίμνην, τὴν ἐγκαυχωμένην τῷ σῷ ὀνόματι, καὶ καθιδρυμένην ἐν τόπῳ, ἐν ᾧ φροεῖδες τῆς Θεομήτορος τὸ μέγα θαῦμα.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ῥάβδω σε καὶ πέτρα ῥαπισθεῖσα, Θεόπτα ἐκ παραδόξου φρὶν ἐξέβλυσε, ῥεύματα ποτάμια, καὶ λαὸν ἐκόρεσε, καὶ αὐχμηείαν ἔλυσε, Μωσῆ ψυχόλεθρον· τὸν τύπον τοῦ Σταυροῦ γὰρ ἐδήλου, δι' οὗ κατηρδεύθη πᾶσα πιστῶν καρδία.

Ὅπλον τοῦ Σταυροῦ φρὸς αὐτιπάλους, τῷ θείῳ σε φροχαράξας μάκαρ σώματι, χεῖρας διεπέτασας, σαυειχῶς πανόλβιε, καὶ Ἀμαλὴκ τὸν ὑπερήφανον, καὶ πᾶσαν τὴν αὐτοῦ δυνασείαν, ἔθραυσας δυνάμει τοῦ Σταυρωθέντος Λόγε.

Ῥάγμα δεινὸν τοῦ ἀρχεκάκου, θρασέως αὐτιλογοῦντος πρὶν κατήχυνε, Μιχαὴλ ὁ μέγιστος, ἄρχων ἱερώτατε, τῶν ἐρανίων τάξεων συστρατηγῶν σοι ποτὲ, ὡς ὤφθη καὶ φρεροὺς τοῦ σοῦ σκήνους, τὴν ὑφρύνε τότε κατέβαλεν ἐνδίκως. Θεοτοκίον.

Ῥάβδος Ἀαρὼν ἡ πρὶν αὐίκμως, βλαστήσασα φροεδήλε σὲ Πανάμωμε, τὴν ἀσπόρως τέξασαν, ἄνθος τὸ ἀμάραντον, τὸ ταῖς σκιαῖς τῆς χάειτος τὴν κτίσιν ἅπασαν, καλύψαν καὶ τὸν καύσωνα παύτα, τῆς πολυθείας ἐξάραν θείῳ θεύει.

Κατάβασία. Εὐλογεῖτε παῖδες.

Ὠδὴ θ'. Μυσικὸς εἶ Θεοτόκε.

Ὃν Μωϋσῆ Θεοῦ θεράπων ἱέμενος, τῆς ζωηφόρε καὶ θείας ἀστραπῆς, τὸν γνόφον διελθών, τῶν ἁγίων ἰχνῶν ἐπορεύθης ὀπίσω· διὸ τοὺς ὑμνοῦντάς σε, μιμητάς σε φρεσβείαις ἀνάδειξον.

Σήμερον χαίρει σε ἡ ποίμνη τῇ μνήμῃ σε, πανηγυείζουσα πάνσοφε φαιδρῶς· ἐν ᾗ πρὸς τὸν Θεὸν ἐπορεύθης, λιπὼν τὸ γεῶδες σαρκίον. ἀλλὰ μὴ διαλίπῃς πειλέπων αὐτὴν τῇ μεσιτείᾳ σε.

Η'

Ἡ Τεισυπόστατος Θεότης ἐμπλήσασα, τῆς σῆς ἀυγῆς τὸν Προφήτην σε Μωσῆν, ἐξῆρας δι' αὐτῦ τὴν βαθεῖαν ἐκ γῆς, ᾗ πολύθεον νύκτα. αὐτῦ ταῖς ἱκεσίαις, καὶ ἡμῶν τὴν ζωὴν γαλήνης πλήρωσον.

Θεοτοκίον.

Νικητικὰ βραβεῖα δίδε τοῖς δήλοις σε, Θεοκυήτωρ Παρθένε Μαριάμ, κατὰ τῦ πονηρῦ· ὅτι σὺ τῶν πιστῶν τῆς καυχήσεως σέφος, ἵνα σε κατὰ χρέος, εὐφημῦμεν ἀεὶ ᾗ μεγαλύνομεν.

Ἄλλος. Ἅπας γηγενὴς, σκιρτάτω.

Ὄρη ἐπιβὰς, Θεόπτα τῷ πνεύματι, εἶδες φραέων τὴν γῆν, τῦ Θεῦ φροσάξαντος, ἐπαγγελίας δὲ κατενόησας, πανευσεβῶς πανόλβιε, πᾶσαν τὴν γῆν αἰθητῶς, μετασὰς δὲ, νῦν φρὸς τὰ ὑράνια, σὺν Ἀγγέλοις αὐλίζῃ μακάριε.

Νεύματι σοφὲ, τῦ φέροντος ἅπαντα, ᾗ μετὰ θαύματος, ἤχθης ᾗ παρέσηκας, σὺν τῷ Θεσβίτῃ ᾗ κατενόησας, οὐχ ὡς τῇ πέτρα φρότερον κρυβεὶς Θεόσοφε, ᾗ αὐτόπτης, γέγονας Θεόπνευστε, τῆς Θεῦ φρὸς ἀνθρώπυς ἐλεύσεως.

Ὤφθης θεατὴς, Θεῦ φρὸ σαρκώσεως, ᾗ μετὰ σάρκωσιν, εἶδες ἅπερ ἔβλεψεν, ὐδεὶς τῶν πάλαι ὐδὲ ἀκήκοεν· ἀλλ' εὐμενῶς φροβλέψας μοι, νῦν δεομένῳ σε, τῆς φωνῆς μυ, ἄκυστον Θεόπνευστε, ᾗ πταισμάτων μοι δίδε τὴν ἄφεσιν.

Θεοτοκίον.

Στάμνον σε χρυσῆν, ᾗ πλάκα ᾗ τράπεζαν, προδιεγράψατο, Μωϋσῆς Πανάμωμε, ᾗ βάτον Κόρη ὅλην πυράφλεκτον· ὧν νῦν ἡμεῖς τὴν ἔκβασιν πιστῶς θεώμενοι, Θεοτόκον εὐσεβῶς δοξάζομεν, ὡς Θεὸν τὴν ἁπάντων γεννήσασα.

Καταβασία. Μυσικὸς ἐξ Θεοτόκε.

Ἐξαποστειλάριον. Φῶς ἀπρόσιτον Λόγε.

Σὺ τὸν Οὐράνιον ἄρτον, ἐπόμβρησας ἐν ἐρήμῳ, τροφῆς ἁγίας Θεόπτα, διάκονος χρηματίσας· ᾗ νῦν ἡμᾶς ταῖς εὐχαῖς σε, δεῖξον μετόχυς, τῆς ὐρανῶν Βασιλείας.

Ἕτερον.

Διὰ ζωῆς ἀνημένης, ᾗ μεταρσίυ πορείας, εἰς τὴν Οὐράνιον λῆξιν, κατέπαυσας Θεοφόρε· ὅθεν ἡμᾶς ἀπευθύνεις, εἰς τὰς λιμένας, τῆς ἀληθῦς κληρυχίας.

Θεοτοκίον. Ὅμοιον.

Ἡ Βάτος ἐν τῷ Σιναίῳ, σὲ φροετύπυ Παρθένε, τὸ πῦρ τῆς Θείας Οὐσίας, ἀφλέκτως ἐγγυμονῦσα. διὰ ἡμᾶς τὸν σὸν δῦλυς, ποίησον οἴκυς, τῦ Πνεύματος τῦ Ἁγίυ.

Εἰς τὰς Αἴνυς, Πᾶσα πνοή. ἰσῶμεν στίχ. δ'. Καὶ ψάλλομεν Στιχηρά.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐν θυέλλῃ τὸν ἄσαρκον, ᾗ ἐν γνόφῳ τὸν ἄϋλον, Μωϋσῆ τεθέασαι ὡς χωρεῖν ἰδεῖν, θεοειδὴς δὲ γενόμενος, τῇ δόξῃ τῷ κρείττονι, τῷ σαρκίνῳ Ἰσραὴλ, νομοθέτης κεχείρισται, ἀλλ' ὃ πέφυκε, νῦς γεώδης τοῖς Θείοις ἐμβατεύειν· ἡ γὰ χάρις τοῖς ὁρῶσι, τὰ λίαν κρείττονα δίδοται.

Ἱερεὺς ἐννομώτατος, στρατηγὸς γενναιότατος, τῷ παραπικραίνοντι αὐαδέδεικται, Μωσῆ μασίζων τὴν Αἴγυπτον, τῇ ῥάβδῳ δὲ θάλασσαν, διαιρῶν τὴν ἐρυθρὰν, ᾗ βυθίζων ἁλάσορα, ᾗ ὑψαύχενα, Φαραὼ σὺν τελεσάταις, ᾗ διάγων, ἐν ἐρήμῳ ᾗ ἐκτρέφων, τὸν Ἰσραὴλ τὸν ἀγνώμονα.

Μωϋσῆ τὸ ὑπόδημα, τῶν ποδῶν λῦσον τάχισα, ὁ γὰρ τόπος ἅγιος, ὃν πεπάτηκας, μήτι νεκρώσεως σύμβολον, ἐν σοὶ περιφέροιτο· ἐν γὰρ βάτῳ ᾗ πυρὶ, μυσικῶς σοι ὀπτάνεται, τὰ παράδοξα, τῆς Θεόπαιδος Κόρης ἐν τῷ ὄρει, τῷ Χωρὴβ ὁ χρηματίζων, τῷ νομοθέτῃ ἐφθέγγετο.

Μωϋσῆς ὁ θαυμάσιος, ἐλλαμφθεὶς θείῳ πνεύματι, καθαρῶς τῷ κτίσαντι φροσωμίλησε, ᾗ βάτον εἶδε πυράφλεκτον, τῦ Λόγυ τὴν ἄῤῥητον, συγκατάβασιν ἡμῖν, φροδηλῦσαν σαφέστατα· ᾗ ἐκόλασε, πᾶσαν Αἴγυπτον ῥάβδῳ, φροτυπώσας, τῦ Σταυρῦ τὴν δυναστείαν, ᾗ Ἀμαλὴκ ἐτροπώσατο.

Δόξα. Ἦχος πλ. δ'.

Τῶν Προφητῶν τὸν ἀκρέμονα, ᾗ παμφαῆ ἀστέρα τῆς οἰκυμένης, ἐν ὕμνοις τιμήσωμεν πιστοὶ, Μωσέα τὸν νομοθέτην, ᾗ Χριστῷ ἐκβοήσωμεν μελωδικῶς· εὔσπλαγχνε Κύριε, παράσχυ τῷ λαῷ σε, ἱκεσίαις τῦ σῦ Προφήτυ, ἄφεσιν ἁμαρτιῶν, ᾗ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέησιν φρόσδεξαι, τὰς δεήσεις.

Δοξολογία μεγάλη, ᾗ Ἀπόλυσις.

Εἰς τὴν Λειτργίαν, Τυπικὰ, καὶ ἐκ τῦ Κανόνος τοῦ Προφήτου, Ὠδὴ, γ'. ᾗ ε'.

Προκείμενον τῦ Ἀποστόλυ. Ἦχος δ'.

Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μυ κάθυ ἐκ δεξιῶν μυ.

Πρὸς Ἑβραίυς Ἐπιστολῆς.

Ἀδελφοὶ, πίστει Μωσῆς μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραὼ, μᾶλλον ἑλόμενος συγκακυχεῖσθαι τῷ λαῷ τῦ Θεῦ, ἢ φρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλῦτον ἡγησάμενος τῆς ἐν Αἰγύπτῳ θησαυρῶν, τὸν ὀνειδισμὸν τῦ Χριστῦ. ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγύμενον ὁ χρόνος, περὶ Γεδεὼν, Βαράκ τε, ᾗ Σαμψὼν, ᾗ Ἰεφθάε, Δαβίδ τε, ᾗ Σαμυὴλ, ᾗ τῆς Προφητῶν· οἳ διὰ

διὰ πίστεως, κατηγωνίσαντο Βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτείων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς, ἐλιθάσθησαν, ἐπείσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον. περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ Κόσμος, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. εἰ θέλεις ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ. Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς. καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε. Καὶ ἀκούσαντες οἱ Μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν· Ἐγέρθητε, καὶ μὴ φοβεῖσθε. Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον, εἰμὴ τὸν Ἰησοῦν μόνον. Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον. Τοῦ Προφήτου Μωϋσέως.

Τὸν θεοπτικώτατον οἱ πιστοὶ, Προφητῶν τὸ κλέος, τὸν ἐν ὄρει πάλαι Σινᾷ, Θεῷ συλλαλοῦντα, ἐν γνόφῳ καὶ ἐν βάτῳ, καὶ Νόμον δεδεγμένον, Μωσῆν τιμήσωμεν.

Δεήσις τῆς ἁγίας τῆς θυ νεοφύτου ἱερομονάχου τῆ σιναίτου. 1752.

SISMANOGLIO MEGARO

ΜΗΝΙ ΝΟΕΜΒΡΙΩ ΚΕ.

ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΠΑΡΘΕΝΟΥ ΚΑΙ ΠΑΝΣΟΦΟΥ

ΑΙΚΑΤΕΡΙΝΗΣ.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν προοιμιακὸν Ψαλμὸν, τὸ, Μακάριος ἀνὴρ, τὸ, ά. Ἀντίφωνον. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἑορτῆς, δ'. καὶ τῆς Ἁγίας, δ'. τῆς Ἑορτῆς. Ἦχος ά.

Ὦ τὸ παραδόξου θαύματος.

Ἡμερον πιστοὶ χορεύσωμεν, ἐν ψαλμοῖς καὶ ὕμνοις, τῷ Κυρίῳ ᾄδοντες, τιμῶντες καὶ τὴν αὐτοῦ, ἡγιασμένην σκηνὴν, τὴν ἔμψυχον Κιβωτὸν, τὴν τὸν ἀχώρητον Λόγον χωρήσασαν. προσφέρεται τῷ Θεῷ, ὑπερφυῶς τῇ σαρκὶ νηπιάζουσα, καὶ Ἀρχιερεὺς ὁ μέγας, Ζαχαρίας δέχεται, εὐφραινόμενος ταύτην, ὡς Θεοῦ κατοικητήριον. Δίς.

Σήμερον Ναὸς ὁ ἔμψυχος, τῆς Ἁγίας Δόξης, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ μόνη ἐν γυναιξὶν, Εὐλογημένη Ἁγνὴ, προσφέρεται τῷ Ναῷ, τῷ νομικῷ κατοικεῖν εἰς τὰ Ἅγια, καὶ χαίρουσι σὺν αὐτῇ, Ἰωακεὶμ καὶ ἡ Ἄννα τῷ Πνεύματι, καὶ Παρθενικαὶ χορεῖαι, τῷ Κυρίῳ ᾄδουσι, ψαλμικῶς μελῳδοῦσαι, καὶ τιμῶσαι τὴν Μητέρα αὐτοῦ.

Σὺν τῇ Προφητῶν τὸ κήρυγμα, Ἀποστόλων Δόξα, καὶ Μαρτύρων καύχημα, καὶ πάντων τῶν γηγενῶν ἡ ἀνακαίνισις, Παρθενε Μῆτερ Θεοῦ, διὰ σοῦ τῷ Θεῷ κατηλλάγημεν. διὸ τιμῶμεν τὴν σὴν, ἐν τῷ Ναῷ τοῦ Κυρίου προέλευσιν, καὶ σὺν τῷ Ἀγγέλῳ πάντες, ψαλμικῶς τὸ χαῖρε σοι, τῇ Πανσέμνῳ βοῶμεν, τῇ προσβεία σου σωζόμενοι.

Ἕτερα Στιχηρὰ τῆς Ἁγίας. Ἦχος ὁ αὐτός. Τῶν Οὐρανίων ταγμάτων.

Σήμερον τέρπεται Πόλις, ἡ Ἀλεξάνδρεια, τὰ σπάργανά σου Μάρτυς, ἐν τῷ Θείῳ Ναῷ σου, κατέχουσα προφρόνως. διὸ καὶ

ἡμεῖς,

ἡμεῖς, εὐσεβῶς ἑορτάζομεν, Αἰκατερίνα τὴν μνήμην σε τὴν σεπτήν, ὑπερεύχε τῷ τιμώντων σε.

Αἰκατερίνης τὴν μνήμην, νῦν ἑορτάσωμεν. αὐτὴ γὰρ ὄντως πάσας, τῷ ἐχθρῷ τὰς δυνάμεις, καὶ λόγῳ τε καὶ ἔργῳ, καθεῖλε σερρῶς, καὶ Ῥητόρων τὴν εὔσασιν. ἀλλὰ δεήσεσι ταύτης, ῥῦσαι ἡμᾶς, ὁ Θεὸς ἐκ τῶν αἱρέσεων.

Χαίροις πανείδοξε Μάρτυς, Αἰκατερίνα σεμνή. τὸ γὰρ Σίναιον Ὄρος, ἐν ᾧ εἶδε τὴν βάτον, Μωσῆς μὴ φλεγομένην, ἐν τύτῳ Χριστὸς, τὸ θεάρεσον σκῆνός σε, νῦν μεταθεὶς σε φυλάττει ἕως καιρῦ, τῆς δευτέρας παρεσίας αὐτῦ.

Δόξα. τῆς Ἁγίας. Ἦχος β΄.

Χαρμονικῶς τῇ πανηγύρει, τῆς Θεοσόφε Μάρτυρος Αἰκατερίνης, συνδράμωμεν ὦ φιλομάρτυρες, καὶ ταύτην τοῖς ἐπαίνοις ὡς αὖθεσι κατασέψωμεν, χαίροις βοῶντες αὐτῇ, ἡ τῶν φληναφων Ῥητόρων, τὴν θρασυσομίαν ἐλέγξασα, ὡς ἀπαιδευσίας αὐάπλεων, καὶ τότε πρὸς Πίσιν θείαν χειραγωγήσασα. χαίροις, ἡ τὸ σῶμα πολυπλόκοις βασαίοις ἐκδῦσα, δι' ἀγάπην τῦ Ποιητῦ σε, καὶ μὴ καταβληθεῖσα ὡς ἄκμων αὐάλωτος. χαίροις, ἡ ταῖς αὖ μοναῖς, αὐτάξια τῶν πόνων εἰσοικισθεῖσα, καὶ Δόξης αἰωνίε καταπρυφήσασα, ἧς ἐφιέμενοι οἱ ὑμνῳδοί σε, τῆς ἐλπίδος μὴ ἐκπέσωμεν.

Καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος πλ. β΄.

Σήμερον τὰ σίφη τῶν πιστῶν συνελθόντα Πνευματικῶς πανηγυείσωμεν, καὶ τὴν Θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν Ναῷ Κυρίε προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν, τὴν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον τῦ Παντοκράτορος Χριστῦ, καὶ Θεῦ τῶν ὅλων, Παρθένοι λαμπαδηφορῦσαι προπορεύεσθε, τῆς Ἀειπαρθένε τιμῶσαι τὴν σεβάσμιον πρόοδον. Μητέρες λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολυθήσατε τὴν Μητέρα τῦ Θεῦ γεγομένην, καὶ τῆς χαρᾶς τῷ Κόσμῳ τὴν πρόξενον. ἅπαντες ὧν χαρμονικῶς τὸ χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν τῇ Κεχαριτωμένῃ, τῇ ἀεὶ προσβευύσῃ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, τὸ, Φῶς ἱλαρὸν, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐε τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκρσὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τὸς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς, λέγει Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς με, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ

ἐγώ εἰμι. ἔμπροσθέν με ὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ ὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς, καὶ ὐκ ἔστι πάρεξ ἐμῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ ὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός. Ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ ὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν με ἐξαιρόμενος. ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρόμενος ὑμᾶς, ὁ Ἅγιος τῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεῦ, καὶ ὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτὸς, καὶ εὗρεν αὐτὸς ἀξίους ἑαυτῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτὸς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι Λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τὸς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τῦ κάλλους ἐκ χειρὸς Κυρίε. Ὅτι τῇ δεξιᾷ αὐτῦ σκεπάσει αὐτὸς, καὶ τῷ βραχίονι ὑπεραπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῦ, καὶ ὁπλοποιήσει τὴν Κτίσιν, εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα. Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν, εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τὸς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλε τόξε τῶν νεφῶν, ἐπὶ σκοπὸν ἀλῆνται, καὶ ἐκ πετροβόλε θυμῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ Θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς Πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτός. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκύσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασαὶ περάτων Γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν.

νῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἦχος β'.

Ὡς ἀλάβαστρον μύρου, τὸ αἷμά σου προσενήνοχας τῷ σῷ Νυμφίῳ Χριστῷ, Αἰκατερίνα Ἀθληφόρε ἀήττητε, αὐτάμερψιν δὲ εἴληφας στέφος ἄφθαρτον, παρ' αὐτοῦ Ἀξιάγαστε. ὅθεν καὶ τῶν Ῥητόρων, τὴν θρασυσοφίαν ἀπήμβλυνας, καὶ τότε πρὸς Θεογνωσίαν ἐπανήγαγες, καὶ τὸν τῆς μαρτυρίας στέφανον ἐκομίσαντο, σὺν Βασιλίσῃ τῇ σοφῇ. διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Πνευματικὴν χορείαν συγκροτήσωμεν τὰ πλήθη τῶν Ὀρθοδόξων, ἐπὶ τῇ μνήμῃ τῆς Μάρτυρος Αἰκατερίνης. αὕτη γὰρ τὴν τοῦ θήλεως φύσιν εἰς ἀρρενότητα μεταβαλοῦσα, ὡς Ἰουδὶθ ἠνδρίσατο κατὰ τοῦ Ὀλοφέρνου. διὸ καὶ ἐν τῷ σταδίῳ πάσχουσα ἔλεγε· σὲ Νυμφίε μου ποθῶ, καὶ τὸ σῶμά μου διὰ σὲ τοῖς αὐόμοις παρέδωκα. ἀλλ' εἰσελεύσομαι εἰς τὸν νυμφῶνα τὸν μέγαν, καὶ θεάσομαι τὴν δόξαν σου φιλάνθρωπε. Ἦχος α'.

Τὰ λαμπρὰ καὶ θεῖά σου ἄθλα, πᾶσαν γλῶσσαν πρὸς αἴνεσιν ἤγειρεν Ἀγγέλων καὶ ἀνθρώπων. οἱ γὰρ Ἄγγελοι ὁρῶντες ἐν Οὐρανῷ τὸν Νυμφίον σου Χριστὸν, τὴν καθαρωτάτην σου ψυχὴν ταῖς χορείαις αὐτῶν συναριθμοῦντα, καὶ οἱ ἄνθρωποι τὸ πολύαθλον καὶ καρτερικόν σου σῶμα κοινὸν ἰατρεῖον ἔχοντες, κοινὴν χορείαν συστησάμενοι ἀγάλλονται, καὶ πανηγυρίζουσίν σε, ὡς τὴν πλάνην πᾶσαν τῷ ἐχθρῷ ἐνικήσασαν, καὶ πρεσβεύουσαν ἐν Οὐρανοῖς Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Τῷ θείῳ πόθῳ τοῦ Χριστοῦ πυρπολουμένη Μάρτυς πολύαθλε, τὰς τῶν ἀνόμων βασάνους εἰς ὑδὲν ἐλογίσω, ἀλλὰ τὸν λογισμόν σου τοῖς Οὐρανίοις κάλλεσι προσηλώσασα, ἔπτευδες φθάσαι πρὸς τὰ ποθούμενα. διὸ καὶ ὁ στεφοδότης Χριστὸς δεξάμενος τὸ Παρθενικόν σου καὶ καθαρώτατον Πνεῦμα, ἐν σκηναῖς Οὐρανίοις εἰσωκίσατο, ἔνθα νῦν παρεσταμένη τῷ Παμβασιλεῖ καὶ Θεῷ, πρέσβευε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Ἦχος δ'.

Σήμερον ὁ Νυμφίος σου Χριστὸς, Οὐρανῶν τὰς πύλας ἀνοίξας εἰς παράδα ἀκήρατον δέχεταί σε καλλιπάρθενε, καὶ Βασιλείας συμμέτοχον δείκνυσιν, ὡς συγκοινωνὸν τῶν παθημάτων αὐτοῦ, ᾧ νῦν παρεσταμένη, μὴ ἐπιλάθου ἡμῶν, τῇ πίστει καὶ πόθῳ τιμώντων, τὴν ἁγιοπάθειαν μνήμην σου. Ὁ αὐτός.

Τῇ ἐλπίδι τῶν αἰωνίων ἀγαθῶν, νευρωμένη Αἰκατερίνα μακαρίσε, καὶ τῇ ἀγάπῃ καὶ τῇ πίστει τελειωθεῖσα, καὶ τῇ δυ-

νάμει τοῦ Χριστοῦ ῥωννυμένη ἀήττητε, εἰδώλων τὴν πλάνην ἐμείωσας, καὶ Βασιλίσῃ πρόξενος τῶν Οὐρανίων Θαλάμων γεγένησαι, μεθ' ἧς τῷ Χριστῷ παρεσταμένη, πρέσβευε δωρηθῆναι τοῖς τιμῶσί σε, εἰρήνην καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. ά.

Σήμερον ἡμέραν ὑπέρλαμπρον, καὶ ἔαρ πανευφρόσυνον ἀνέτειλε τοῖς πέρασιν, ἡ παύσεπτος πανήγυρις τῆς Ἀθληφόρου, λαμπρύνουσα τῶν Εὐσεβῶν τὰς καρδίας, καὶ τοῖς θαύμασιν ὡς ἄνθεσι, τοὺς πιστοὺς εὐωδιάζουσα. δεῦτε οὖν ἅπαντες πιστοὶ εὐφρανθῶμεν τῷ πνεύματι, καὶ τὰς χεῖρας κροτήσωμεν, ἐπὶ τῇ λαμπρᾷ καὶ σεβασμίῳ μνήμῃ τῆς Μάρτυρος, καὶ τοῖς ἄνθεσι τῶν ἐγκωμίων ταύτην κατασέψωμεν, ὕμνοις βοῶντες· χαίροις Αἰκατερίνα καλλιπάρθενε Κόρη. χαῖρε νύμφη τοῦ Χριστοῦ. χαίροις ἡ τῶν Ῥητόρων τὰ ἀπύλωτα στόματα ὡς ἀφώνους ἀποδείξασα ἰχθύας, καὶ τὴν ἄνοιαν τῶν Ἑλλήνων ἐναντίον βασιλέως δυσσεβοῦς ἐλέγξασα, καὶ κηρύξασα Χριστὸν τὸν Θεόν, τὸν παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. τῆς Ἑορτῆς. ὁ αὐτός.

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ Ἑορτὴ πανσεβάσμιος. σήμερον γὰρ ἡ πρὸ τόκου Παρθένος, καὶ μετὰ τόκον Παρθένος μείνασα, ἐν Ναῷ Ἁγίῳ προσάγεται, καὶ χαίρει Ζαχαρίας ὁ Πρέσβυς, ὁ γεννήτης τοῦ Προδρόμου, καὶ βοᾷ γηθοσύνως. ἤγγικεν ἡ προσδοκία τῶν θλιβομένων, ἐν Ναῷ Ἁγίῳ ὡς Ἁγία, ἀφιερωθῆναι εἰς κατοίκησιν τοῦ Παντάνακτος. εὐφραινέσθω Ἰωακεὶμ ὁ Πρόπατωρ, καὶ ἡ Ἄννα ἀγαλλιάσθω, ὅτι προσήνεγκαν Θεῷ, ὡς τελετίσασαν δάμαλιν, τὴν Ἀμωμον Δέσποιναν. Μητέρες συγχάρητε, Παρθένοι σκιρτήσατε, καὶ σεῖραι συγχορεύσατε, ὅτι ἠνέῳξεν ἡμῖν τὴν Οὐρανῶν Βασιλείαν, ἡ προοιμιθεῖσα Παντάνασσα. χαίρετε Λαοὶ καὶ ἀγαλλιᾶσθε.

Καὶ αἱ συνήθεις Εὐχαὶ παρὰ τοῦ Ἱερέως.

Εἰς τὸν Στίχον, Στιχηρὰ προσόμοια τῆς Ἁγίας. Ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Μνήμην τὴν πανίερον, Αἰκατερίνα Πανεύφημε, τῆς σεπτῆς σου ἀθλήσεως, τελοῦντες δοξάζομεν, ἐν φωναῖς ἀπαύστοις, τὸν δεδωρημένον, ὑπομονήν σοι καρτεράν, καὶ νικηφόρον σε ἀναδείξαντα, καὶ λόγον χορηγήσαντα, καταπτοῦντα τοὺς Ῥήτορας, Ἰησοῦν τὸν Φιλάνθρωπον, καὶ Σωτῆρα καὶ Κύριον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Μάρτυς ἐθελούσιος, Αἰκατερίνα Πανένδοξε, καθωράθης τὸν Τύραννον, εὐτόνως ἐλέγξασα, καὶ δεινὴν μανίαν, τῆς πολυ-

λυθείας, Θεογνωσίας φωτισμῷ, καταβαλοῦσα, καὶ θείᾳ Χάριτι. ἐνπεῦθεν καὶ ὡς Μάρτυρα, καὶ ὡς Παρθένον παναμωμον, ὁ Χριστὸς ἐσεφάνωσεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἔσησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Χαίρειν τὴν τοῦ Πνεύματος, Αἰκατερίνα Πανένδοξε, ἐν ἀνοίξει τοῦ στόματος, ἐδέξω καθάρασα, σεαυτὴν προθύμως, διὰ πολιτείας, καὶ λογισμῷ καρτερικῷ, τὴν τῶν Τυράννων ὀργὴν κατέπαυσας, ἐν κάλλει τῷ τοῦ σώματος, τὴν ψυχικὴν ὡραιότητα, Θεοφρόνως ἀπέθεικας, ἀθλητῶν ἐγκαλλώπισμα.

Δόξα, τῆς Ἁγίας. Ἦχος πλ. δ'.

Τῷ τοῦ Νυμφίου σου ἔρωτι, τετρωμένη Αἰκατερίνα Σεμνή, Παρθενομάρτυς καὶ Παῖσοφε, πᾶσαν κοσμικὴν προσπάθειαν, προθύμως κατέλιπες, καὶ τῷ σημείῳ τοῦ Σταυροῦ, σφραγισαμένη ἑαυτὴν, τὴν τῶν εἰδώλων πλάνην παντόφως διήλεγξας, καὶ Ῥητόρων ἔπαυσας, τὰς ληρώδεις ἐνστάσεις, τοῦ Χριστοῦ τὸ ὄνομα λαμπρῶς πᾶσι κηρύξασα. ὅθεν καὶ στέφει Οὐρανίῳ ἀναδησαμένη τὴν κεφαλὴν, σὺν Ἀγγέλοις χορεύεις, ὡς ἀχνὴ Πεισερά, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν παναοίδιμον μνήμην σου.

Καὶ νῦν, τῆς Ἑορτῆς, ὁ αὐτός.

Μετὰ τὸ πεχθῆναί σε Θεάνυμφε Δέσποινα, παρεχένα ἐν Ναῷ Κυρίου, τοῦ ἀπαρθῆναι εἰς τὰ Ἅγια τῶν Ἁγίων ὡς Ἡγιασμένη, τότε καὶ Γαβριὴλ ἀπεσάλη πρὸς σὲ τὴν Παναμωμον, τροφὴν κομίζων σοι. τὰ Οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. διὸ ἄπαυστε ἀμόλυντε, ἡ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Τροπάριον τῆς Ἁγίας. Ἦχος πλ. ά. τὸν συναναρχον Λόγον.

Τὴν πανεύφημον Νύμφην Χριστοῦ ὑμνήσωμεν, Αἰκατερίναν τὴν θείαν καὶ πολιοῦχον Σινᾶ, τὴν βοήθειαν ἡμῶν καὶ ἀντίληψιν, ὅτι ἐφίμωσε λαμπρῶς τοὺς κομψοὺς τῶν ἀσεβῶν τοῦ πνεύματος τῇ μαχαίρᾳ, καὶ ὡς Μάρτυς Κυρίου σεφθεῖσα, αἰτεῖται πᾶσι τὸ μέγα ἔλεος.

Καὶ τῆς Ἑορτῆς. Σήμερον τῆς εὐδοκίας.

Καὶ γίνεται ἡ εὐλόγησις τῶν Ἄρτων.

Ἐν δὲ τῷ Ὄρθρῳ μετὰ τὴν ά. Στιχολογίαν, Κάθισμα τῆς Ἁγίας. Ἦχος ά. Χορὸς Ἀγγελικός.

Μολοῦσα εὐθαρσῶς, πρὸς ἀγῶνας Τεισμάκαρ, ἀνδρείως τὸν Χριστὸν, ὡμολόγησας Μάρτυς, καὶ τύραννον ἤλεγξας, δυσ-

σεβῆ

σεβῆ καὶ παράφρονα, καὶ κατήχυνας, Ῥητορευόντων τὰ σίφη, καὶ ἀνέδραμες, εἰς Οὐρανίους σκηνώσεις, διό σε δοξάζομεν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς. Ὅμοιον.

Δικαίων ὁ καρπὸς, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, Ἱερῷ ἐν Ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ Τροφὸς τῆς ζωῆς ἡμῶν, ἣν εὐλόγησεν, ὁ Ἱερὸς Ζαχαρίας, ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν.

Μετὰ τὴν, β'. Στιχολογίαν Κάθισμα τῆς Ἁγίας.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ Παρθένος καὶ σεμνὴ, Αἰκατερίνα ἡ σοφὴ, τῇ δυνάμει τοῦ Χριστοῦ ἐπιῤῥωθεῖσα ἀληθῶς, ἀγαλλομένη εἰσέρχεται ἐν σαδίῳ, καὶ Τύραννον ὠμὸν καταβαλοῦσα σεῤῥῶς, καὶ πᾶσαν τὴν πληθὺν τῶν δυσσεβούντων ἐχθρῶν, μετ' εὐφροσύνης ἔψαλλεν, ἀκαταπαύστως μεγάλῃ φωνῇ, Χριστὲ βοῶσα, Σωτὴρ καὶ Ῥῦσα, σὺ ἓν δέξαι τὸ Πνεῦμά μου.

Δοξα, τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς.

Ἡ Ἀμίαντος Ἀμνὰς, καὶ ἀκηλίδωτος Πασὰς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἡ Θεοτόκος Μαριὰμ, μετ' εὐφροσύνης εἰσάγεται παραδόξως, ἣν Ἄγγελοι Θεοῦ, δορυφοροῦσι πιστῶς, καὶ πάντες οἱ πιστοὶ, μακαρίζουσιν ἀεὶ, καὶ εὐχαρίστως ψάλλουσι, ταύτη ἀκαταπαύστως μεγάλῃ φωνῇ, ἡμῶν ἡ Δόξα, καὶ Σωτηρία, σὺ ὑπάρχεις Παναμωμε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα τῆς Ἁγίας.

Ἦχος πλ. δ'. Τὸ προσαχθέν.

Ἀλεξανδρέων ἡ λαμπρὰ καὶ Θεία Πόλις, ἐπὶ τῇ μνήμῃ σου Σεμνὴ πανηγυρίζει, καὶ γεραίρει τοὺς ἄθλους σου Αἰκατερίνα, ὃς ἔτλης γενναιοφρόνως ὑπὲρ Χριστοῦ, καὶ μέγα βρενθυομένη σοὶ ἐκβοᾷ, ὦ Παρθενίας πολύαθλε, εἰς Οὐρανίους νῦν σκηνὰς, ἀγάλλου τε καὶ χόρευε, χαῖρε Μάρτυς παυθαύμαστε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς. Ὅμοιον.

Ἀγαλλιάσθω ὁ Δαβὶδ ὁ Ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι Γόνος Ἅγιος ἐξ αὐτῶν προῆλθε, Μαρία ἡ φωτοφόρος Θεία λαμπὰς, καὶ χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ, ἣν καὶ βλέπων εὐλόγησεν, ὁ Βαραχίου υἱὸς, καὶ χαίρων ἀνεκραύγαζε, χαῖρε θαῦμα παγκόσμιον.

Οἱ Ἀναβαθμοὶ, τὸ, ά. Ἀντίφωνον τοῦ πεμπτου Ἤχου. Προκείμενον. Ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν δέκα Παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπά-

δας

δας αὐτῷ, ἐξῆλθον εἰς ἀπάντησιν τῶ Νυμφίω. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί· αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον. αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ Νυμφίου, ἐνύσαξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν, Ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ Παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν, πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ Νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ Παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἀμὴν λέγω ἡμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Καὶ ὁ Ν'. Δόξα. Ταῖς τῆς Ἀθληφόρου πρεσβείαις Ἐλεήμων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεήμων.

Ἦχος β'. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ Ἰδιόμελον τῆς Ἁγίας.

Βίον ἄϋλον ἐξησκημένη, βῆμα ἄθεον καταλαβοῦσα, ἔσης τροπαιοφόρος Αἰκατερίνα σεμνή, ἀνθηφορῆσα τῷ Θεῷ τὴν λαμπρότητα, καὶ τὸ θεῖον θεόος ἐνδεδυμένη, δόγμα Τυράννου κατεμυκτήρισας, καὶ Ῥητόρων ἔπαυσας, τὰς φληναφους ῥήσεις Πολύαθλε. Εἶτα οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν εἰς ς'.

Ὠδὴ ά. Ἦχος ά.

Ὠδὴν ἐπινίκιον ἄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ, ὅτι δεδόξασται.

Συνδράμωμεν σήμερον, τῇ Θεοτόκῳ, τιμῶντες ἐν ἄσμασι, καὶ πανηγυρίσωμεν, πνευματικὴν ἑορτὴν, ἐν τῷ Ναῷ καὶ τῷ Θεῷ, δῶρον προσφέρεται.

Ὡδῆς ἀνυμνήσωμεν, τῆς Θεοτόκου, τὴν εὔδοξον Πρόοδον, τῷ Ναῷ καὶ σήμερον, ὡς καὶ Ναὸς τοῦ Θεοῦ, προσφέρεται προφητικῶς, δῶρον πολύτιμον.

Ἡ Ἄννα ἡ ἄμεμπτος, ἠγαλλιᾶτο, ὡς δῶρον πολύτιμον, τῷ Θεῷ προσφέρουσα, ἐν τῷ Ναῷ μητρικῶς, Ἰωακεὶμ δὲ σὺν αὐτῇ, πανηγυρίζει φαιδρῶς.

Παρ-

Παρθένοι χορεύσατε, λαμπαδηφόροι, ἐξάρξατε σήμερον, καὶ Μητέρες ᾄσατε, τῇ Βασιλίδι Μητρὶ, προσερχομένῃ τῷ Ναῷ, τοῦ Βασιλέως Χριστοῦ.

Καὶ τῆς Ἁγίας. Ὠδὴ ά. Ἦχος β'. Τῷ τὴν ἄβατον.

Τῷ Νυμφίῳ σου, παρισταμένη παῦσεμνε, Λόγῳ τῷ ἀπατείλαντι, ἐκ προαιωνίου Πατρὸς, πρὸ αἰώνων ὡς αὐτὸς, θείῳ ἀπαυγάσματι, λόγον μοι αἴτησαι, τὴν ἀξιέπαινον, ὑμνῆσαι μαρτυρίαν σου.

Ἡ Σοφία σε, Θεοῦ ἡ ἐνυπόστατος, Λόγος ὁ συναΐδιος, Πατρὶ καὶ Πνεύματι, οἵα σκεῦος ἐκλογῆς, πλῆρες θείας χάριτος καὶ καθαρότητος, εὑρὼν ἐνέπνευσε, σοφίαν τὴν Οὐράνιον.

Πλάτῳ ῥέοντι, καρδίαν μὴ συνδήσασα, ταύτην τῷ Παντοκράτορι Θεῷ συνέδησας, καὶ τῷ πόθῳ τοῦ αὐτοῦ, Μάρτυς τετρωμένη ἦλθες αὐτόκλητος, ἐπὶ τὸ στάδιον, Θεὸν εὖα κηρύττουσα.

Θεοτοκίον.

Ἁγιάσματος, εὑρών σε καθαρώτατον, τόπον ὁ Ὑπεράγιος, ἐν σοὶ ἐσκήνωσε, Παναμώμητε Σεμνὴ, οὗ τῶν ἡδυπνόων μύρων αἰθόμεναι, κόραι νεαΐδες, αὐτῷ κατηκολούθησαν.

Ἕτερος Κανὼν τῆς Ἁγίας, ᾧ ἡ ἀκροστιχίς.

Αἰκατερίναν τὴν παναοίδιμον ἄσμασι μέλπω.

Ὠδὴ ά. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἁγκατερίνης τῆς Παμσόφου Μάρτυρος, ταῖς ἱκεσίαις Χριστὲ, τὸ ζοφερὸν ὄμμα, τῆς ψυχῆς μου φώτισον, αἴγλην διδούς μοι Δέσποτα, τῆς σῆς φωτοχυσίας, τῶν ψυχοφθόρων πταισμάτων μου, πᾶσαν τὴν ἀχλὺν ἀφανίζουσαν.

Ἰθυνομένη τοῦ Δεσπότου Παύσοφε, θείοις προσάγμασι, καὶ τῷ αὐτοῦ πόθῳ, φλεγομένη ἔδραμες, πρὸς τοὺς ἀγῶνας εὐδοῦσα, καὶ Τυράννων τὰς φρενάς, Αἰκατερίνα κατέπτηξας, λόγῳ καὶ σοφίᾳ καὶ χάριτι.

Ἁγαλλομένη Παρθενίας κάλλεσιν, Αἰκατερίνα Σοφὴ, καὶ Θεϊκὴν γνῶσιν, ὑπερόπτα ἔσχες, τῆς ψευδωνύμου γνώσεως, εὐθαρσῶς καὶ ἀνδρείως, τοὺς προεσῶτας κατήχυνας, τότε κατὰ κράτος νικήσασα.

Θεοτοκίον.

Τὸν Θεοτόκον σε κηρύττειν Ἄχραντε, πάσης αἱρέσεως, ἀποτροπὴν φέρει, σάρκα καὶ γενόμενον, ἀναλλοιώτως ἔτεκες, τὸν ἐπέκεινα πάσης, Θεοκυήτωρ τῆς Κτίσεως, Λόγον τὸν Θεὸν τὸν ἀΐδιον.

Καταβασία. Χριστὸς γεννᾶται. Ὠδὴ γ'. Ὁ Εἱρμός.

Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου Χριστὲ ὁ Θεὸς, ὁ ἐφ' ὑδάτων Οὐρανὸν, στερεώσας τὸ δεύτερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν Παντοδύναμε.

Παν-

ΠΑνηγυείσωμεν οἱ φιλέορτοι, καὶ συνευφρανθῶμεν τῷ πνεύματι, ἐν τῇ Ἁγίᾳ Ἑορτῇ, εὐωχούμενοι σήμερον, Θυγατρὸς τοῦ Βασιλέως, καὶ Μητρὸς τοῦ Θεοῦ ἡμῶν.

Ἰωακεὶμ εὐφραίνε σήμερον, καὶ ἀγάλλε Ἄννα τῷ Πνεύματι, τὴν γεννηθεῖσαν ἐξ ὑμῶν, τῷ Κυρίῳ προσάγοντες, τελετίζεσαν ὡς δάμαλιν, Σεμνὴν τὴν Παναμώμον.

Τὸ τοῦ Θεοῦ κατοικητήριον, ἐν Ναῷ Ἁγίῳ προσφέρεται, ἡ Θεοτόκος Μαριὰμ, τῇ σαρκὶ τελετίζουσα, καὶ αὐτῇ λαμπαδοχοῦσιν, αἱ Παρθένοι προτρέχουσαι.

Οἱ Ἱερεῖς Θεοῦ ἐνδύσασθε, τὴν δικαιοσύνην ἐν χάριτι, καὶ ὑπαντήσατε φαιδρῶς, τὰς εἰσόδους παρέχοντας, Θυγατρὸς τοῦ Βασιλέως, καὶ Θεοῦ εἰς τὰ Ἅγια.

Ἄλλος. Ἐν πέτρᾳ με τῆς Πίστεως.

Νεᾶις σοφωτάτη καὶ λαμπροτάτη, ὡραία καὶ τὴν ὄψιν καὶ τὴν καρδίαν, εἰς μέσον παρασᾶσα γενναιοφρόνως, τοῦ βασιλεύοντος, τοῦτον διήλεγχεν, ἀθέοις δαίμοσι θυσιάζοντα.

Ἔξεσι τῇ σοφίᾳ καὶ τῇ συνέσει, καὶ ὅλος ἀπεπάγη μέσον τοῦ δήμου, ὁ ἄναξ μὴ ἰσχύων ἀποκρυβῆναι, προς τὴν Θεόσοφον, σὲ καὶ Θεύληπτον, Μάρτυς ἀξιάγασε καὶ Πανεύφημε.

Ὑπάρχουσα σοφίας τῆς Θείας πλήρης, καὶ πᾶσαν ἐκμαθοῦσα τὴν ἔξω γνῶσιν, ὑπέφαινες τῷ λόγῳ τῆς ἀληθείας, ἐκμυκτηρίζουσα, Μάρτυς πανένδοξε, τὴν εἰδώλων θέωσιν, τὴν ψευδώνυμον. Θεοτοκίον.

Φῶτί με σωτηρίας περιβαλοῦσα, ἐξάγαγε τοῦ σκότους τῆς ἀπωλείας, πανύμνητε Παρθένε Θεοκυῆτορ, ἡ τὸν φιλάνθρωπον, Χριστὸν κυήσασα, ὅπως προσλαβόμενος μεγαλύνω σε.

Ἄλλος. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἐθελουσίοις σου ῥοπαῖς, ἐχώρησας προς τὸ πάθος, τὸ ἑκούσιον Χριστὸν μιμουμένη, καὶ νικήσασα λαμπρῶς, τὸν σκότους κοσμοκράτορα, στεφανηφόρος ὤφθης, Αἰκατερίνα Θεόληπτε.

Ῥωμαλαιότητι φρενῶν, διήλεγξας τὸν Τυράννους, ἀθεΐας ἐν βυθῷ κυλιομένους, ῥητορεύσασα σαφῶς, Θεογνωσίας δόγματα, Θεία Σοφία Μάρτυς, λαμπρυνομένη πανεύφημε.

Σοφείαν τοῖς ὠσὶ, τῆς Εὔας ὁ ψιθυρίσας, ὑπὸ Κόρης ἀπαλῆς νῦν πατεῖται, τῷ ξύλῳ ὅπλῳ τοῦ Σταυροῦ, περιφραχθεῖσα ἤχυνεν, Αἰκατερίνα Μάρτυς, ἄμετρα τὸν καυχώμενον.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ Κόσμῳ, διανάστησον ἐλάς, καὶ τύπους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, Θεογεννήτορ Παναμώμε.

Καταβασία. Τῷ προ τῶν αἰώνων.

Κον-

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ Καθαρώτατος Ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος Παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν Θησαύρισμα τῆς Δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται ἐν τῷ οἴκῳ Κυρίου, τὴν Χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι Θείῳ, ἣν ὑμνοῦσιν Ἄγγελοι Θεοῦ, αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Ὁ Οἶκος.

Τῶν ἀπορρήτων τοῦ Θεοῦ, καὶ Θείων Μυστηρίων, ὁρῶν ἐν τῇ Παρθένῳ τὴν Χάριν δηλουμένην, καὶ πληρουμένην ἐμφανῶς, χαίρω, καὶ τὸν τρόπον ἐννοεῖν ἀμηχανῶ τὸν ξένον καὶ ἀπόῤῥητον, πῶς ἐκλελεγμένη ἡ Ἄχραντος, μόνη ἀϊδέχθη ὑπὲρ ἅπασαν τὴν Κτίσιν τὴν ὁρατὴν καὶ νοουμένην. διὸ ἀϊσυφημεῖν βουλόμενος ταύτην, καταπλήττομαι σφοδρῶς νοῦν τε καὶ λόγον, ὅμως δὲ τολμῶν, κηρύττω καὶ μεγαλύνω, αὕτη ὑπάρχει Σκηνὴ ἐπουράνιος.

Κάθισμα τῆς Ἁγίας. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὸ αἱμά σου σεμνὴ, ὡς ἀλάβαστρον μύρου, ἐνήνοχας Χριστῷ, τῷ Νυμφίῳ σου Μάρτυς, ἀϊτιμίαψιν δὲ εἴληφας, παρ' αὐτοῦ Ἀξιάγασε, σέφος ἄφθαρτον, καὶ ἰαμάτων τὴν χάριν, παῦσαι τοῖς ἡμῶν, ἀλλεπαλλήλους κακώσεις, δυνάμει τοῦ Πνεύματος.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. τῆς Ἑορτῆς.

Δικαίων ὁ καρπὸς, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, Ἱερῷ ἐν Ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ Τροφὸς τῆς ζωῆς ἡμῶν, ἣν εὐλόγησεν, ὁ Ἱερὸς Ζαχαρίας, ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἐν πνεύματι προβλέπων Προφήτα Ἀββακοὺμ, τὴν τοῦ Λόγου σάρκωσιν ἐκήρυττες βοῶν, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐξάρξατε Παρθένοι, καὶ ἅψασθε ᾠδῆς, ταῖς χερσὶ κατέχουσαι, λαμπάδας τῆς ἁγνῆς, καὶ Θεοτόκου τὴν Πρόοδον, νῦν ἀπίστης, ἐν Ναῷ τῷ τοῦ Κυρίου, ἅμα σὺν ἡμῖν ἑορτάζουσαι.

Ἁγία τῶν Ἁγίων ὑπάρχουσα Σεμνὴ, ἐν Ναῷ ἠγάπησας Ἁγίῳ κατοικεῖν, καὶ τοῖς Ἀγγέλοις Παρθένε προσομιλοῦσα, προσεκαρτέρεις παραδόξως ὁρωμένη, ἄρτον δεχομένη τροφὴ τῆς ζωῆς.

Ἔβλάστησεν ἡ ῥάβδος ποτὲ τοῦ Ἀαρὼν, προτυπώσασα Ἄχραντε τὸν Θεῖον Τοκετὸν, ὅτι ἀσπόρως συλλήψῃ, καὶ ἀφθαρήσῃ, καὶ μετὰ Τόκον Παρθενεύουσα ὀφθήσῃ, βρέφος γαλουχοῦσα τὸν πάντων Θεόν.

Παρθένοι τῇ Παρθένῳ Μητέρες τῇ Μητρὶ, εὐσεβῶς προσδράμετε, τιμῶσαι σὺν ἡμῖν, τὴν γεννηθεῖσαν ὡς ἄμωμον

Γερεῖον, ϗ τὴν τεκοῦσαν, τῷ Θεῷ καρποφορίαν, πάντες ἐν φαιδρῷς ἑορτάσωμεν.

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένυ.

Η Θροίζετο, ἀπὸ πάσης γῆς σῖφος τὸ ἔγκειτον, τῷ Ῥητόρων Παῦσοφε, τῶ βασιλέως τροσάγμασι, ὅπως αὐτισῄσωνται, τοῖς τῆς σοφίας σε, ῥήμασι σεπτοῖς Παναοίδιμε.

Μ Εμύησαι, δι' Ἀγγέλυ Ἁγίυ πανεύφημε, τὸ ἰσχὺν ἐνθέντος σοι, ὡς ἡττηθέντες οἱ Ῥήτορες, διὰ σὸ πιστεύσυσιν, εἰς τὸν Δεσπότην σε, δόξαν ἀθλητῶν ἀμπεχόμενοι.

Ο Γ'κ ἴσχυσεν, αὐτεκπεῖν τῇ σοφίᾳ ϗ χάριτι, τῷ λόγων σου Παῦσεμνε, ἡ εὐγλωττία τῆς ἔξωθεν, γνώσεως ψευδήμονος, διὸ ὡς ὕφασμα, Μάρτυς τὸ ἀράχνυ ἠφάνισαι.

Θεοτοκίον.

Α Γίασον, τὴν ψυχήν μυ Παρθένε Θεόνυμφε, ϗ τὸν νοῦν μου φώτισον, τὸ ἀπροσκόπτως πορεύεσθαι, τρος τὸ θεῖον θέλημα, τὸ ἐκ νηδύος σε, ἄνευ τσορᾶς αὐατείλαντος.

Ἄλλος. Σύ μυ Χριστὲ Κύριος.

Α Θλητικὴν, Αἰκατερίνα τὴν ἔνσασιν, ἐπεδείξω, Μάρτυς παναοίδιμε, τῷ δυσμενεῖ λίαν καρτερῶς, αὐτικατάσᾶσα, ϗ τὸτον καταπατήσασα, ποτὶν ὡραϊσμένοις, τὸ Σταυρῷ τῇ δυνάμει, ἀθλοφόρε Μαρτύρων τὸ καύχημα.

Ν Υμφη Χριστῦ, Αἰκατερίνα πανόλβιε, καθωράθης, θείαις ὡραιότησι, φωτοειδέσι μαρμαρυγαῖς, ἀγλαϊζομένη, ϗ κάλλει περιαστράπτουσα, διὸ ϗ γηθομένη, μελῳδεῖς τῷ Δεσπότῃ, τῇ δυνάμει σε δόξα Φιλανθρωπε.

Τ Υραννικὴν, ἀλαζονείαν ἐφαύλισας, ϗ τῷ Θείῳ, λόγῳ τῆς Σοφίας σε, ὡς ἐκ βυθῦ τῆς ἀπατηλῆς, δεισιδαιμονίας, τὺς πλανωμένυς ἐξήρπασας, διδάσκουσα κραυγάζειν, τῷ Χριστῷ μελῳδοῦντας, τῇ δυνάμει σε δόξα Φιλανθρωπε.

Θεοτοκίον.

Ν Ὸν τὴν ἰσχύν, τῶν ἀθετούντων κατάβαλε, τῆς Εἰκόνος, Κόρη τὴν τροσκύνησιν, σὸ τῆς σεπτῆς, ϗ τὸ ὑπὲρ νοῦν, ἐκ σοῦ Σαρκωθέντος, ϗ Κόσμον ὅλον φωτίσαντος, ϗ πάντων τῶν Ἁγίων, τὺς δὲ πίστει τιμῶντας, καταφαίδρυνον μόνη Πανύμνητε.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ὠδὴ έ. Ὁ Εἱρμός.

Τ Ὸ φαεινὸν ἡμῖν ἐξανάτειλον, φῶς τὸ ἀΐδιον, τοῖς ὀρθρίζουσιν ἐπὶ τὰ κείματα τῶν ἐντολῶν σε, Δέσποτα φιλανθρωπε, Χριστὲ ὁ Θεὺς ἡμῶν.

Λαμ-

Λ Αμπροφορήτωμεν οἱ Ὀρθόδοξοι, πάντες συντρέχοντες, ϗ δοξάζοντες τὴν Θεομήτορα, ὅτι Κυρίῳ, σήμερον τροσφέρεται, ὡς θῦμα εὐτρόσδεκτον.

Α Γαλλιάσωσαν οἱ Προπάτορες, σήμερον Δέσποινα, ϗ εὐφρανέσθω ἡ Τεκοῦσά σε, σὺν τῷ Πατρί σε, ὅτι ὁ Καρπὸς αὐτῶν, Κυρίῳ τροσάγεται.

Τ Ὴν πολυώνυμον ϗ περίδοξον, ἄμωμον Δάμαλιν, ὡς ἐν σαρκὶ κυοφορήσασαν, τὸν Θεῖον Μόχον, πάντες ἀυμνήσωμεν, πιστῶς ἑορτάζοντες.

Τ Α' τῆς νυμφεύσεως ἀπογράφονται, θεῖα συμβόλαια, τῆς ὑπὲρ νοῦν κυοφορίας σε, Ἁγνὴ Παρθένε, σήμερον ἐν Πνεύματι, Ἁγίῳ ἐν οἴκῳ Θεῦ.

Ἄλλος. Τῆς νυκτὸς διελθούσης.

Ι Ταμῶς ὁ δικάζων, ἐν θυμῶτε τὴν ψῆφον, κατὰ τῶν Ῥητόρων ἐξήνεγκεν, ὡς σαφῶς ἡττηθέντας, ἐν πυρὶ κελεύσας τότες τὴν τελείωσιν δέξασθαι.

Κ Ατηπάζοντο Μάρτυς, σῶν τὸς θείυς πόδας, τὸ Χριστῦ τῇ πίστει οἱ Ῥήτορες, τροστελθόντες, ϗ αὐτῶν τὰς ψυχὰς Κυρίῳ, μέσον τὸ πυρὸς παρεδίδοσαν.

Α Ἰσθέον τέλος, εὕραντο οἱ γενναῖοι, ϗ διὰ τὸ πυρὸς βαπτισθέντες, τὴν ἀάγκην ποιῦντες, ὡς τερ φιλοτιμίαν, τὺς στεφάνους δόξης ἐδέξαντο.

Θεοτοκίον.

Τ Ω͂ν ἄὐλων αἱ Τάξεις, σὲ δοξολογοῦσιν, Ἄχραντε Παρθένε Θεόνυμφε, διὰ σὸ γὰρ τροῆλθε, βροτοῖς Σωτηρία, λύσιν τῶν πταισμάτων πηγάζουσα.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Π Ο'θω πυρπολυμένη, Μάρτυς τανσοίδιμε τῶν τὸ Δεσπότε σε, ϗ ζητοῦσα τότε, τὸ ἀμήχανον κάλλος θεάσασθαι, αὐθαιρέτῳ γνώμῃ, τοῖς αἰκισμοῖς σαυτὴν τορέχες, Παρθενίας ἐκλάμπουσα Χάρισι.

Α Ἄθλοις Ἱερωτάτοις, Κόρη Καλλιπάρθενε καταλαμπρύνασα, σεαυτὴν τροφρόνως, ἀνελήλυθας τρὸς τὴν Οὐράνιον, τοῦ Χριστῦ τασάδα, ϗ νῦν φαιδρῶς τῷ σῷ Νυμφίῳ, γηθομένη συνήφθης Τανόλβιε.

Ν Εᾶις φαιδροτάτη, ὤφθης ἀγαπήσασα μόνον ἐράσμιον, καὶ ὀπίσω τούτου, συντονώτατον δράμον διήνυσας, εἰς ὅσμὴν τοῦ μύρου, σοῦ νοητῶς τοῦ κενωθέντος, ἀνεβόας δραμοῦμαι Νυμφίε μου.

Θεο-

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες σε, Παῤαγνε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, Θεὸν Λόγον εἰδότες κηρύττομεν, ἐν δυσὶν οὐσίαις, θελητικαῖς αὐτεξουσίαις, γνωριζόμενον Κόρη Θεόνυμφε.

Καταβασία. Θεὸς ὢν εἰρήνης. Ὠδὴ ς'. Ὁ Εἱρμός.

Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ, τὴν ζωήν μου ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με Σωτὴρ τῷ Κόσμου, κράζοντα δόξα σοι.

Ἑορτάσωμεν πιστοὶ, Ἑορτὴν πνευματικὴν, τὴν Μητέρα τοῦ Θεοῦ, ἀνυμνοῦντες εὐσεβῶς. ὑπάρχει γὰρ Ἁγιωτέρα, τῶν Οὐρανίων Νοῶν.

Ἐν ᾠδαῖς πνευματικαῖς, εὐφημήσωμεν πιστοὶ, τὴν Μητέρα τοῦ Φωτὸς, ὅτι σήμερον ἡμῖν, ἐπέφανε, προερχομένη ἐν τῷ Ναῷ τοῦ Θεοῦ.

Ἐν Ναῷ τῷ νομικῷ, τὰς εἰσόδους ἐκπλεῖ, ὁ Ναὸς ὁ τοῦ Θεοῦ, ἡ Οὐράνιος σκηνὴ, ἐξ ἧς ἡμῖν, τοῖς ἐν τῷ σκότει, τὸ φῶς ἐξέλαμψεν.

Ἐκ παντοίων πειρασμῶν, καὶ κινδύνων ψυχικῶν, ἐλευθέρωσον ἡμᾶς, τοὺς προσρέχοντας εἰς σὲ, Παναμνητε, ταῖς σαῖς πρεσβείαις, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Ἄλλος. Ἄβυσσος ἁμαρτημάτων.

Ἐφανας ἐκ τῆς Παρθένου, ὡς Ἥλιος ἐν τῷ Κόσμῳ, τῆς ἐπιγνώσεως τῆς σῆς, πληρώσας τὰ σύμπαντα, ὡς Θεὸς Θεὸς Λόγος.

Ἡμᾶς ἀπεπειράτο, ἀπάτης καὶ κολακείας, ὁ δυσσεβέστατος βασιλεὺς, συλῆσαι Παναφθεμε, τὸν θησαυρὸν τῆς ψυχῆς σου τὴν πίστιν.

Ἀνθίσασο ἀνδρεοφρόνως, ταῖς τοῦ κρατοῦντος θωπείαις, μὴ προσκαμπτομένη ἀπειλαῖς, Μάρτυς ἀήττητε, ἀλλ' ὅπλῳ τῷ Σταυρῷ ἐνδυναμουμένη.

Θεοτοκίον.

Νέμοις μοι ἁμαρτημάτων, τὴν λύσιν Θεοκυήτωρ, καὶ τὴν τῶν παθῶν ἀπαλλαγὴν, Ἄχραντε Δέσποινα, προσβείας σου σῷ ἀχρείῳ οἰκέτῃ.

Ἄλλος. Ἄβυσσος ἁμαρτιῶν.

Ὅλην σε περικαλλῆ, παρθενίας ἀπαράπτωσαν αἴγλη, μαρτυρικοῖς τε Κόρη, φοινιχθεῖσαν ἐν αἵμασι, καθορῶν ὁ Ἀγαθὸς, Λόγος καὶ Ἄχραντος, ἐν Θαλάμοις, ἐπουρανίοις κατεσκήνωσε.

Ἰσχυσας διὰ Σταυροῦ, τῶν Τυράννων καταλύσαι τὸ κράτος, καὶ κοσμικῆς σοφίας, διελέγξαι τὸ μάταιον, Θεοπνεύστου διδαχῆς, βρύσασα δογματα, μεγαλόφρον, Αἰκατερίνα παναοίδιμε.

Δό-

Δόλῳ φρονήσαν τὸν Ἀδὰμ, Παραδείσου τῆς τρυφῆς ἐκβαλόντα, τῶν αἰκισμῶν τοὺς πόνους, καρτερῶς ὑπομείνασα, καταβέβληκας εἰς γῆν, Μάρτυς πανεύδοξε, καὶ στεφανοις, τῆς Βασιλείας ἐστεφανῶσαι.

Θεοτοκίον.

Ἰλεών μοι τὸν Κριτὴν, καὶ Υἱόν σου Θεοτόκε Παρθένε, ταῖς σαῖς λιταῖς γενέσθαι, ἐν ἡμέρᾳ τῆς κρίσεως, λυτρωτὴν τε τῶν δεινῶν Μῆτερ ἀπέργασαι. σοὶ γὰρ μόνῃ τὰ τῆς ἐλπίδος μου ἀνέθηκα.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Χορείαν σεπτὴν, ἐνθέως φιλομάρτυρες, ἐγείρατε νῦν, γεραίροντες τὴν Παύσοφον, Αἰκατερίναν. αὕτη γὰρ ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Ὁ Οἶκος.

Τὴν ἐκ Θεοῦ Σοφίαν λαβοῦσα παιδόθεν ἡ Μάρτυς, καὶ τὴν ἔξω καλῶς σοφίαν πᾶσαν μεμάθηκε, γνοῦσα ἐκ ταύτης τὴν τῶν στοιχείων κίνησίν τε καὶ ποίησιν κατὰ λόγον, καὶ τὸν αὐτὰ ἐξ ἀρχῆς διὰ λόγου Ποιήσαντα, αὐτῷ τὴν εὐχαριστίαν ἐν νυκτὶ καὶ ἡμέρᾳ προσέφερε, τὰ εἴδωλα καθελοῦσα, καὶ τοὺς τότοις ἀφρόνως λατρεύοντας, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Τῷ αὐτῷ Μηνὶ, εἰκοστῇ πέμπτῃ, Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Αἰκατερίνης.

Στίχ. Αἰκατερίνα καὶ Σοφὴ καὶ Παρθένος.
Ἐκ δὲ ξίφους καὶ Μάρτυς, ὦ καλὰ τρία.
Πέμπτῃ κατέπεφνεν ἄορ εἰκάδι Ῥήτορα Κόρην.

ΒΙΌΣ ΚΑΙ ΑΘΛΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΠΑΡΘΕΝΟΥ ΚΑΙ ΠΑΝΣΟΦΟΥ

ΑΓΙΚΑΤΕΡΙΝΗΣ.

ΠΑΤΕΡ ΕΥΛΟΓΗΣΟΝ.

σας, καὶ τοὺς ὑπὸ σὲ, ἀπαύστοις διδασκαλίαις ἐτήρησας· ὅθεν καὶ δεομένους σου, ἐν τῇ ἐπιδρομῇ τῶν ἀνημέρων Βλεμμύων, Οὐρανίᾳ φωνῇ, ἀπὸ τοῦ βήματος προσκαλοῦσης ὑμᾶς εἰς ἀνάπαυσιν, οἱ πάντες ἤκουσαν, καὶ δι' αὐτῆς προθύμως, ταῖς βασανίοις τὰ σώματα παρεδίδοσαν, μεθ' ὧν τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι, πρέσβευε ὑπὲρ ἡμῶν, ἀπαύστως πρὸς Κύριον.

Ἦχος πλ. δ'.

ΚΑλλωπίζεται Πατρὶς, ἡ θρεψαμένη σε Πάτερ Παῦλε Μακάριε· Ῥαϊθὼ δὲ καὶ Σινᾶ, τὸ Θεοβάδιστον Ὄρος, τοὺς πόνους τῶν καμάτων, καὶ τοὺς ἄθλους τῶν ἀγώνων προβάλλονται, ἀνευφημοῦσιν ἀπαύστως, τὸν σὲ δοξάσαντα Κύριον.

Δόξα. Ἦχος πλ. δ'.

Ὅσιοι Πατέρες, μελετήσαντες ἡμέρας καὶ νυκτὸς ἐν νόμῳ Κυρίου, ἠξιώθητε τοῦ ξύλου τῆς ζωῆς σύμφυτοι γενέσθαι, καὶ ὁ καρπὸς ὑμῶν, ἀθλήσεως σεφώσας ἐξήνθησε· παῤῥησίαν ἔχοντες, πρὸς τὸν Ἀγωνοθέτην Θεὸν, καὶ ἡμῖν αἰτήσασθε ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

ΣΗμερον ἡ κτίσις φωτίζεται, σήμερον τὰ πάντα εὐφραίνονται, τὰ ὁρώμενα πάντα, καὶ τὰ ἐπίγεια. Ἄγγελοι καὶ ἄνθρωποι συμμίγνυνται· ὅπου γὰρ Βασιλέως παρουσία, καὶ ἡ τάξις παραγίνεται. Δράμωμεν τοίνυν ἐπὶ τὸν Ἰορδάνην, ἴδωμεν πάντες τὸν Ἰωάννην, πῶς βαπτίζει Κορυφὴν, ἀχειροποίητον, καὶ ἀναμάρτητον. Διὸ Ἀποστολικὴν φωνὴν προσάδοντες, συμφώνως βοήσωμεν· ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις, καταυγάζουσα καὶ παρέχουσα πιστοῖς τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον, τῆς Ἑορτῆς Ἰδόμελα. Ἦχος β'.

ΕΝ Ἰορδάνῃ ποταμῷ, ἰδών σε ὁ Ἰωάννης πρὸς αὐτὸν ἐρχόμενον, ἔλεγε Χριστὲ ὁ Θεός· τί πρὸς τὸν δοῦλον παραγέγονας, ῥύπον μὴ ἔχων Κύριε; εἰς ὄνομα δὲ τίνος σὲ βαπτίσω; Πατρός; ἀλλὰ τοῦτον φέρεις ἐν ἑαυτῷ. Υἱοῦ; ἀλλ' αὐτὸς ὑπάρχεις ὁ σαρκωθείς. Πνεύματος Ἁγίου; καὶ τοῦτο οἶδας, διδόναι τοῖς πιστοῖς διὰ σώματος· ὁ ἐπιφανεὶς Θεὸς ἐλέησον ἡμᾶς. Ὁ αὐτός.

Στίχ. Ἡ Θάλασσα εἶδε καὶ ἔφυγεν.

ΕΓνδοσαν σε ὕδατα ὁ Θεὸς, ἔνδοσαν σε ὕδατα, καὶ ἐφοβήθησαν· πρὸς τὴν σὴν γὰρ δόξαν, αὐτοφθαλμήσαι τὰ Χερουβὶμ οὐ δύνανται, οὐδὲ ἀτενίσαι τὰ Σεραφίμ· ἀλλὰ φόβῳ παεισάμενα, τὰ μὲν βασάζουσι, τὰ δὲ δοξάζουσι τὴν δύναμίν σου· μεθ' ὧν Οἰκτίρμων, ἀναγγέλλομεν τὴν αἴνεσίν σου λέγοντες· ὁ ἐπιφανεὶς Θεὸς ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Στίχ. Τί σοι ἐστὶ θάλασσα ὅτι ἔφυγες;

Σήμερον ὁ Οὐρανὸς καὶ γῆς Ποιητὴς, παραγίνεται σαρκὶ ἐν Ἰορδάνῃ, Βάπτισμα αὐτῶν ὁ ἀναμάρτητος, ἵνα καθάρῃ τὸν Κόσμον ἀπὸ τῆς πλάνης τὸ ἐχθρόν· καὶ βαπτίζεται ὑπὸ δούλου ὁ Δεσπότης τῶν ἁπάντων· καὶ καθαρισμὸν δι' ὕδατος, τῷ γένει τῶν ἀνθρώπων δωρεῖται· αὐτῷ βοήσωμεν· ὁ ἐπιφανεὶς Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Ἦχος πλ. δ'.

Τὸν ἰσάγγελον βίον πολιτευσάμενοι, πόνοις ἀσκητικοῖς Πατέρες Ὅσιοι, ἐγκρατείᾳ τὸ σῶμα δουλαγωγήσαντες, καθυπετάξατε τῷ πνεύματι, ἐργάται γενόμενοι τῶν ἐντολῶν τοῦ Κυρίου, τὸ ἀρχέτυπον κάλλος τῆς εἰκόνος ἐφυλάξατε, καὶ ἀθλητικοὺς ἀγῶνας, ἐκ τῶν ἀσκητικῶν ἱδρώτων διηνύσατε· καὶ διπλοῖς στεφάνοις κατακοσμηθέντες, ἐκτενῶς τὸν Σωτῆρα ἱκετεύσατε, σωθῆναι ἡμᾶς.

Καὶ νῦν. Ὁ αὐτός.

Τὰ τῶν Ἀγγέλων στρατεύματα ἐξίσαντο, ὁρῶντές σε σήμερον ἐν τῷ Ἰορδάνῃ, γυμνὸν ἑστῶτα Σωτὴρ ἐν τοῖς ὕδασι, καὶ τὴν ἄχραντον Κορυφήν σου ὑποκλίναντα, βαπτισθῆναι ὑπὸ Ἰωάννου· σὲ ὃν πτωχεύσαντος ἑκουσίως, ὁ Κόσμος ἐπλουτίσθη, Κύριε δόξα σοι.

Ἀπολυτίκιον τῆς Ἑορτῆς. Ἐν Ἰορδάνῃ.

Δόξα. τῶν Ἁγίων. Ἦχος ά. Τὸ Γαβριὴλ φθεγξαμένου.

Τοὺς ἐν Σινᾷ Ἀθλοφόρους καὶ Ἀββάδας Κυρίου, καὶ Ῥαϊθοῦ τοὺς Πατέρας, ἐπαξίως ὑμνοῦμεν, αἰτοῦντες Οἰκτιρμῶν Λυτρωτὴν, εἰρήνην ἐξ ὕψους τοῖς πιστοῖς, καὶ νίκας δωρηθῆναι τῷ Βασιλεῖ, Ἀββάδων ταῖς δεήσεσι. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς. Δόξα τῷ βαπτισθέντι Χριστῷ. Δόξα τῷ στεφανώσαντι ὑμᾶς διπλοῖς τοῖς στέμμασι.

Καὶ νῦν. Ἐν Ἰορδάνῃ. Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὸ, Θεὸς Κύριος, τὰ αὐτά. Εἶτα τὰ Καθίσματα τοῦ Ψαλτηρίου. Μετὰ τὴν, ά. Στιχολογίαν Κάθισμα τῶν Ἁγίων. Ἦχος γ'.

Τὴν ὡραιότητα.

Ἀπαρνησάμενοι τὰ ἐν τῷ Κόσμῳ τερπνὰ, καὶ βιωσάμενοι ἐν ταῖς ἐρήμοις σοφῶς, ἐν Ῥαϊθοῦ καὶ ἐν Σινᾷ, ἠθλήσατε παραδόξως· ὅθεν καὶ τὸν στέφανον ἐκ Θεοῦ ἐκομίσασθε, Μάρτυρες καὶ Ὅσιοι ἀληθῶς ἐνδεικνύμενοι, καὶ νῦν μετὰ Ἀγγέλων συνόντες, πάντων ἡμῶν μνείαν ποιεῖτε.

Δόξα. τὸ αὐτό. καὶ νῦν. τῆς Ἑορτῆς. ὁ αὐτός.

Ἐπιφανέντος σου ἐν Ἰορδάνῃ Σωτὴρ, καὶ βαπτισθέντος σου ὑπὸ Προδρόμου Χριστὲ, ἠγαπημένος Υἱὸς ἐμαρτυρήθης· ὅθεν καὶ

καὶ συναίαρχος, τῷ Πατρὶ πεφανέρωσαι, Πνεῦμα δὲ τὸ Ἅγιον ἐπὶ σὲ κατεγίνετο, ἐν ᾧ καὶ φωτισθέντες βοῶμεν· δόξα Θεῷ τῷ ἐν Τριάδι.

Μετὰ τὴν β'. Στιχολογίαν. Τῶν Ἁγίων. Ἦχος γ'.

Ἡ Παρθένος σήμερον.

Ὀρτάζει Σίναιον, καὶ Ῥαϊθὼ εὐφροσύνως, ἐν τῇ μνήμῃ σήμερον τῶν Ἀθλοφόρων Ἀββάδων. Μάρτυρες μετὰ Ὁσίων ἀγαλλιῶνται. Ἄγγελοι στεφανηφόροι συγκατιόντες, στεφανοῦσι τοὺς Ὁσίους, διπλοῖς στεφάνοις, ὡς πανοπλίτας Χριστοῦ.

Δόξα. τὸ αὐτό. καὶ νῦν. τῆς Ἑορτῆς.

Ὁ αὐτός.

Ὁ Δεσπότης σήμερον, ἐν Ἰορδάνῃ ἔπεσε, βαπτισθεὶς ἐν ὕδασιν, ὑπὸ τοῦ Θείου Προδρόμου, ὅθεν ὁ Πατὴρ δὲ προσεμαρτύρει, Οὗτός ἐστιν ὁ Υἱός ὁ ἀγαπητός μου, καὶ τὸ Πνεῦμα ἐπεφοίτα, ἐν ξένῃ θέᾳ, περιστερᾶς ἐπ' αὐτόν.

Μετὰ τὸν Πολυέλεον Κάθισμα τῶν Ἁγίων. Ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Τὴν ἔρημον πολίσαντες, ἐν εὐσεβείᾳ Θεοῦ, τὰ πάθη ἐρημώσαντες ἐν ἐγκρατείᾳ σαφῶς, ὡς φοίνιξ ἠνθήσατε, βότρυας ψυχοτρόφους, ἀρετῶν Θεοφόροι, φέροντες τοῖς ἀνθρώποις, γλυκασμὸν ὑπὲρ μέλι· διὸ καὶ μεγαλύνομεν πίστει τὴν μνήμην ὑμῶν.

Δόξα. τὸ αὐτό. καὶ νῦν. τῆς Ἑορτῆς. Ὁ αὐτός.

Τὰ ῥεῖθρα ἡγίασας τὰ Ἰορδανέια, τὸ κράτος συνέτριψας τῆς ἁμαρτίας ἡμῶν. Ὑπέκλινας τῇ παλάμῃ, σεαυτὸν τὸ Πρόδρομον· καὶ ἔσωσας ἐκ τῆς πλάνης τῶν ἀνθρώπων τὸ γένος· διό σε ἱκετεύομεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Οἱ Ἀναβαθμοὶ, τὸ, ά. Ἀντίφωνον τὸ, δ'. Ἦχος.

Προκείμενον. Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Τὸ, Πᾶσα πνοὴ, καὶ τὸ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος πάντα ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. Οὗτος γάρ ἐστιν ὁ Νόμος, καὶ οἱ Προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν· καὶ πολλοί εἰσιν, οἱ εἰσερχόμενοι δι' αὐτῆς· στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχον-

χονται προς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σαφυλήν, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν, καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον, καρποὺς πονηροὺς ποιεῖ· οὐ δύναται δένδρον ἀγαθὸν, καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν, καρποὺς καλοὺς ποιεῖν· πᾶν δὲν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς.

Εἶτα ὁ Ν'. Δόξα. Ταῖς τῶν σῶν Ἀββάδων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Καὶ τὸ Ἰδιόμελον. Ἦχος β'.

Οἱ Πατέρες, οἱ ἐν Σινᾷ, καὶ ἐν Ῥαϊθῷ, Θεῷ κατ' ἄμφω εὐαρεστήσαντες· τὸ πρότερον μὲν, ἐν ἀσκήσει μακροχρονίῳ, τὸ δεύτερον δὲ καὶ ἐν ἀθλήσει, ἐγκρατεῖς τοῦ πόθου γενόμενοι, τοὺς αὐευφημοῦντας ὑμᾶς, ἀπὸ παντοίων κινδύνων λυτρώσατε, καὶ πρὸς Θεὸν ὑπὲρ τοῦ Κόσμου πρεσβεύσατε, τὸν ὑποκλίναντα τὴν Κάραν τῷ Προδρόμῳ, καὶ ἁγιάσαντα τὴν φύσιν τοῦ ὑδάτων· τὰς νίκας δοῦναι τῷ φιλοχρίστῳ στρατῷ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Εἶθ' ἕτω οἱ Κανόνες· τῆς Ἑορτῆς εἰς, ς'. καὶ τῶν Ἁγίων εἰς, ἡ.

Ὁ Κανὼν τῆς Ἑορτῆς. Ἦχος β'.

Ὠδὴ ά. Ὁ Εἱρμός.

„ Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείας ἔλκει, ἐν
„ αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς ἐν πολέμοις
„ Κύριος, ὅτι δεδόξασται.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει, ῥείθροις Ἰορδάνου, καὶ δρακόντων, κεφαλὰς ἐμφωλευόντων διαθλάττει, ὁ Βασιλεὺς τῶν αἰώνων Κύριος, ὅτι δεδόξασται.

Πρὸς τῆς Θεότητος αὐλῷ, σάρκα ὑλικὴν ἠμφιεσμένος, Ἰορδάνου περιβάλλεται τὸ νᾶμα, ὁ σαρκωθεὶς ἐκ Παρθένου Κύριος, ὅτι δεδόξασται.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων, τούτοις καθαρθεὶς ἐν Ἰορδάνῃ, οἷς θελήσας ὡμοιώθη ὃν ἦν μείνας, τοὺς ἐν σκότει φωτίζει Κύριος, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν τῶν Ὁσίων. Οὗ ἡ ἀκροστιχίς.

Ἄθλους ἀνυμνῶν Πατέρων μέγα κλέος.

Ἰωσήφ. Ὠδὴ ά. Ἦχος δ'.

Θα-

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ἀσκήσει φωτοειδεῖς γενόμενοι, μακαριώτατοι, Θεοειδεῖς ἐδείχθητε σαφῶς, τῇ κενώσει τοῦ αἵματος· διὸ συνεπαγάλλεσθε, τοῖς ἀσκηταῖς Χριστοῦ καὶ Μάρτυσι.

Θαλάσσῃ τῇ τῶν δακρύων πρότερον, ἐναπεπνίξατε, τὸν Φαραὼ σοφοὶ τὸν νοητὸν, τῷ αἱμάτων εἰς ὕστερον, τοῖς ὀχετοῖς ὠλέσατε, καὶ ἀφανίᾳ παρεπέμψατε.

Ἀμφρύνων ὁ φωτοδότης Κύριος, ὑμῶν τὴν ἄθλησιν, ὑπομονῇ θεράποντες Χριστοῦ, φωταυγῇ ἀπεργάσασθε, καὶ ἐμφανῇ τὴν ἄσκησιν, ὑπὲρ αὐγὰς ἡλίου λάμψασαν.

Ὀλιγοθλίψις, ἐκ ἀλγεινῶν ἐπίτασις, ὁ μακρυσμὸς παντελὴς, τῶν κοσμικῶν φροντίδων Ἀθληταὶ, ὁ βαρβάρων αὐήμερος, ἐπιδρομὴ τῆς κρείττονος, ὑμᾶς ἐλπίδος ἐπηγάγετο. Θεοτοκίον.

Ὑπάρχων ὁ κατὰ φύσιν Κύριος, πᾶσιν ἀχώρητος, ἐν σοὶ χωρεῖται Δέσποινα βροτὸς, εὐσπλαγχνίᾳ γενόμενος, ἵνα βροτὸς θεὶ ἄφατον, φιλανθρωπίαν διασώσηται.

Ἕτερος Κανὼν τῶν Ἀββάδων. Ἦχος β'.

Οὗ ἡ ἀκροστιχίς.

Δέησις Σταύρου Φρονιμοπούλου Πατρέως.

Ὠδὴ ά. Βυθοῦ ἀνεκάλυψε πυθμένα.

Δακρύων μὲν πρότερον τοῖς ῥείθροις, πᾶσαν τῶν παθῶν τὴν φλόγα, ὅλως κατασβέσαντες, αἱμάτων δὲ εἰς πέλος, τὴν διωκτῶν, διανοίας Ὅσιοι παύτων ἠρδεύσατε.

Ἐπ' ὤμων Σταυρὸν τὸν τοῦ Κυρίου, ἄραντες σοφῶς κατ' ἴχνος τούτου, ἐβαδίσατε ἀσκήσει καὶ ἀθλήσει, ἐν Ῥαϊθῷ, καὶ Σινᾳίῳ Ὅσιοι, ἔνθα ἐστέφθητε.

Ἠσχύνθη Δαιμόνων πᾶσα φάλαγξ, βλέπουσα Ἀββάδων τοὺς ἀγῶνας, ἐν ἀσκήσει καὶ ἀθλήσει ὑπὲρ φύσιν, καὶ τὴν πληθὺν, τῶν Ἀγγέλων φέρουσαν στέφη οὐράνια. Θεοτοκίον.

Ἀρκὸς τῇ παχύτητι Παρθένε, ὅλος ἐνώθεις ὁ Θεῖος Λόγος, ἐν τῇ μήτρᾳ σου προῆλθε σαρκοφόρος, δίχα φθορᾶς, βαπτισθεὶς ἀνέπλασε, γένος ἀνθρώπινον.

Καταβασία.

Βυθοῦ ἀνεκάλυψε πυθμένα· καὶ ὁ Ἰαμβικὸς Εἱρμός.

„ Σὲ βέβη Θαλάσσης, κυματούμενον σάλον,
„ Σὲ πειρον αὖθις, Ἰσραὴλ δεδεγμένον.
„ Μέλας δὲ πόντος, τεισάτας Αἰγυπτίων,
„ Ἔκρυψεν ἄρδην, ὑδατόρρωτος τάφος.
„ Ῥώμῃ κραταιᾷ, δεξιᾶς τοῦ Δεσπότου.

Ὠδὴ

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Ἰσχὺν ὁ διδὺς, τοῖς Βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας χρι-
„ σῶν αὐτοῦ ὑψῶν, Παρθένῳ ἀποτίκτεται, μολεῖ δὲ πρὸς τὸ
„ Βάπτισμα. Διὸ πιστοὶ βοήσωμεν, ὅτι ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡ-
„ μῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Σὺ τετρεύσασα πέλαι, ἠπεκνωμένη δεινῶς σήμερον, εὐφραίνου Χριστοῦ ἡ Ἐκκλησία, δι' ὕδατος καὶ πνεύματος, τίοὶ γάρ σοι γεγέννηνται, ἐν πίστει ἀνακράζοντες, ὅτι ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Μεγάλῃ φωνῇ, ἐν τῇ ἐρήμῳ βοᾷ Πρόδρομος, Χριστοῦ ἑτοιμάσατε ὁδὺς, καὶ τρίβους τοῦ Θεοῦ ἡμῶν, εὐθείας ἀπεργάσασθε, ἐν πίστει ἀνακράζοντες, ὅτι ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Ἄλλος. Οὐκ ἐν Σοφίᾳ.

Συντετριμμένῃ, διανοίᾳ Θεὸν θεραπεύσαντες, συνετρίψατε ἐχθροῦ, μεγαλαυχίαν Μακάριοι, ξίφει συντριβόμενοι, καὶ θανατόμενοι.

Ἀποσκοποῦντες, τῷ μενόντων σοφοὶ τὸ ἀΐδιον, τῷ ἀσάτων καὶ ῥευστῶν, τὸ χαμερπὲς ἀπεκρύσασθε· ὅθεν μακαρίζεσθε Ὁσιοι μάρτυρες.

Νόμῳ τῷ Θείῳ, εὐσεβεῖ διανοίᾳ πειθήσαντες, τῆς σαρκὸς τὰς ἡδονὰς, δι' ἐγκρατείας ὠλέσατε· καὶ νῦν ἐναθλήσαντες, δόξης ἐτύχετε. Θεοτοκίον.

Ὑπεραγία, ὑπεράγιον Λόγον κυήσασα, καθαγίασον ἡμῶν, καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, τῶν μακαριζόντων σε τὴν παναμώμητον.

Ἄλλος. Ἰσχὺν ὁ διδύς.

Ἰσχὺν ὁ διδὺς τοῖς Βασιλεῦσιν ἡμῶν Κύριος, ἰσχύι ἐνίσχυσεν ὑμᾶς, παντοδυνάμῳ σύμπαντας, πρὸς ἄσκησιν, καὶ ἄθλησιν, ἐν αἷς πιστῶς ἐκράζετε, ὅτι ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Συγχαίρει χορὸς, Σιναϊτῶν ἐνθέως σήμερον, Ἀββάδων τὰ Λείψανα πλουτῶν, ὡς θησαυρὸν ἀσύλητον, ἰάματα προχέοντα τοῖς πίστει ἀνακράζουσιν, ὅτι ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Σταγόσι πυκνοῖς, ἐν Ῥαϊθῷ καὶ Σινᾷ Ὅσιοι, δακρύων σὺν αἵμασιν ὑμῶν, τὴν γῆν καθαγιάσαντες, εἰς Οὐρανὺς ἐπήρθητε, ἔνθα τερπνῶς κραυγάζετε, ὅτι ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Θεο-

Θεοτοκίον.

Τὸν σὸν τοκετὸν, ἐκδυσωπῶσα Ἀειπάρθενε, προσβείαις ἀπαύστοις τῶν σεπτῶν Ἀββάδων κατοικτείρησον, καὶ πάσης βλάβης λύτρωσαι, τοὺς πίστει ἀνακράζοντας, ὅτι ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Καταβασία.

Ἰσχὺν ὁ διδύς· καὶ ὁ Ἰαμβικός.

„ Ὅσοι παλαιῶν ἐκλελύμεθα βρόχων, Βορᾶν λεόντων συντε-
„ θλασμένον μύλας, Ἀγαλλιῶμεν, καὶ πλατύνωμεν στόμα.
„ Λόγον πλέκοντες, ἐκ λόγων μελῳδίας, Ὧ τῶν προς ἡμᾶς ἤδε-
„ ται δωρημάτων.

Κάθισμα. Τῶν Ὁσίων. Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Ἀσκητῶν ὁμόσκηνοι, καὶ τῶν Μαρτύρων, ἐν Σινᾷ ἀσκήσαντες, καὶ Ῥαϊθῷ ὑπερφυῶς, καὶ ἐναθλήσαντες ἐπήρθητε, μετὰ Ἀγγέλων εἰς ὕψη οὐράνια.

Δόξα. Ταχὺ προκατάλαβε.

Ὡς πάροικοι δεικνύμενοι, καὶ παρεπίδημοι, καλύβας πηξάμενοι, ἐν ταῖς ἐρήμοις σαφῶς, ἠσκήσατε Ὅσιοι, γύμνωσιν κοσμηθέντες, ἀρετῶν τῇ ἐνδύσει, σύμμορφοι γεγονότες, τῶν Χριστοῦ παθημάτων. Διὸ καὶ ὑπεμείνατε τὴν τῶν βαρβάρων σφαγήν.

Καὶ νῦν. τῆς Ἑορτῆς. ὁ αὐτός.

Ὁ Φῶς ὡς ἱμάτιον περιβαλλόμενος, τὰ ῥεῖθρα περιβάλλεται τὰ Ἰορδανέια, Χριστὸς ὁ Θεὸς ἡμῶν, ἄνωθεν μαρτυροῦντος τοῦ Πατρὸς τῷ συνθρόνῳ, κάτωθεν προσφοιτήσης, τῆς τοῦ Πνεύματος δόξης· αὐτός ἐστιν ὁ φωτίζων, καὶ ἁγιάζων ἡμᾶς.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Ἀκήκοε Κύριε φωνῆς σου ὧν ἔπαθες, φωνὴ βοῶντος ἐν ἐρήμῳ,
„ ὅτι ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρήμενος
„ Υἱῷ. Ὅλος γεγονὼς τοῦ παρόντος, Πνεύματος δὲ ἐβόησε· σὺ εἶ
„ Χριστὸς, Θεοῦ Σοφία καὶ Δύναμις.

Ὑπτόμενον Ἥλιον τίς εἶδεν, ὁ Κήρυξ βοᾷ τὸν ἔκλαμπρον τῇ φύσει; ἵνα σε ὕδασιν ἀπαύγασμα τῆς δόξης, Πατρὸς χαρακτὴρ, ἀϊδίως ἐκπλύνω· καὶ χόρτος ὢν, πυρὶ ψαύσω τῆς σῆς Θεότητος· σὺ γὰρ Χριστὸς, Θεοῦ Σοφία καὶ Δύναμις.

Ὑπέφηνεν εὔθεον ἣν εἶχεν, εὐλάβειαν Μωσῆς περιτυχών σοι· ὡς γὰρ τῆς βάτου σε φωνήσαντα ἠθήθη, εὐθὺς ἀπεγράφη τὰς ὄψεις· ἐγὼ δὲ πῶς βλέψω σε τρανῶς; ἢ πῶς χειροθετήσω σε; σὺ γὰρ Χριστὸς, Θεοῦ Σοφία, καὶ Δύναμις.

Ψυ-

Ψυχῆς τελῶν ἔμφρονος, καὶ λόγῳ τιμώμενος, ἀψύχων εὐλαβοῦμαι· εἰ γὰρ βαπτίσω σε κατήγορόν μοι ἔσαι, πυρὶ καπνιζόμενον Ὄρος, φυγοῦσα δὲ θάλασσα διχῇ, καὶ Ἰορδάνης ἔστος γραφείς· σὺ γὰρ Χριστὸς, Θεοῦ Σοφία καὶ Δύναμις.

Ἄλλος. Ἐπαρθεύτα σε ἰδοῦσα.

Μὴ τοῖς πάθεσι τοῦ σώματος ἡττηθεύτες, τὸν δυσμενῆ ἡττήσατε, καὶ θανατωθεύτες, ξίφει παμμακάιρτοι, ζωὴν πρὸς Οὐράνιον, χαίροντες ὁμοῦ μετετέθητε.

Νεκρωθεύτες πρὸ θανάτου διὰ ἐγκρατείας, ἐθελουσίως Ὅσιοι τῶν παρανομούντων, ἑκουσίως ξίφεσι, δεινῶς τεθανάτωσθε, ζῆν μετὰ θανεῖν πιστεύμενοι.

Ἐπιαύθητε ὡς ἄρνες τῇ ἐγκρατείᾳ, καὶ ὡς κριοὶ ἐπίσημοι, χερσὶν αἱμοβόρων, λύκων ἀναιρεθεύτες, ζωὴν πρὸς Οὐράνιον, Ὅσιοι Χριστοῦ προσηνέχθητε.

Ἱερεῖς καὶ προφῆται καὶ νεανίσκοι, οἱ Ραϊθὼ καὶ Σίναιον, Ὄρος κατοικοῦντες, Μάρτυρες γεγόνασιν, ὁσίως βιώσαντες, καὶ βιαιοτάτως τεθνήξαντες.

Θεοτοκίον.

Νεργεῖ τὴν ἀνθρωπότητα νέον βρέφος, ὁ πρὸ αἰώνων Κύριος, ὀφθεὶς ἐκ Παρθένου, καὶ βροτὸς γενόμενος, αὐτῷ μελῳδήσωμεν, δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Ἀκήκοε Κύριε.

Ἀκήκοε Κύριε φωνῆς σου καλούσης, χορὸς Ἀββαδῶν μετὰ Παύλου, ὅτι ἐφώνησας οἱ πάντες δεῦτε πρός με, αὐτῷ εὐχομένους ἐν Ναῷ· ὅθεν σὺν χαρᾷ ἀναβόων, ξίφεσιν ἀναιρούμενοι· σὺ εἶ Χριστὸς Θεοῦ Σοφία καὶ Δύναμις.

Ὑπέφηνεν εὐθέον ἣν εἶχεν, εὐλάβειαν πληθὺς ἡ τῶν Ἀββάδων, ὡς γὰρ τοῦ βήματος φωνήσαντος, ἠθετήθη, εὐθὺς προσεπλάκη μαχαίραις, δι' ὧν καὶ τῆς δόξης Οὐρανῶν, ἐντρυφῶντες κραυγάζουσι· σὺ εἶ Χριστὸς Θεοῦ Σοφία καὶ Δύναμις.

Ρέοντων τὸ ἄσατον ἰδόντες, τὰ πρόσκαιρα σοφῶς τοῖς αἰωνίοις, οἱ ἐν Σιναίῳ αὐτηλλάξαντο Ἀββάδες, ἐν πόνοις καὶ δάκρυσιν αὐτῷ· ὅθεν καὶ Ἀγγέλοις συνόντες, εὐχαρίστως κραυγάζουσι· σὺ εἶ Χριστὸς Θεοῦ Σοφία καὶ Δύναμις.

Θεοτοκίον.

Ὁ Λόγος ἀόρατος ὑπάρχων, σάρκα εἰληφὼς ἐκ σοῦ Παρθένε, ὁρατὸς ἄνθρωπος ὡράθη ἐν ἀνθρώποις, καὶ ἐν Ἰορδάνῃ κατῆλθεν, ὁ καθαρὸς κάθαρσιν αἰτῶν, ὃν ὑμνοῦντες κραυγάζομεν· σὺ εἶ Χριστὸς Θεοῦ Σοφία καὶ δύναμις.

Κα-

Καταβασία.

Ἀκήκοε Κύριε φωνῆς σου οὗ εἶπας. Καὶ ὁ Ἰαμβικός.

„ Πρσῷ καθαρθεὶς μυσικῆς θεωρίας,
„ Ὑμνῶν Προφήτης τὴν βροτῶν καινουργίαν,
„ Ρήγνυσι γῆρυν, Πνεύματι κροτουμένην,
„ Σάρκωσιν ἐμφαίνουσαν ἀῤῥήτου Λόγου.
„ Ὧ τῶν δυνασῶν τὰ κράτη συνετείβη.

Ὠδὴ έ. Ὁ Εἱρμός.

„ Ἰησοῦς ὁ ζωῆς ἀρχηγός, λῦσαι τὸ κατάκριμα ἦκεν, Ἀδὰμ τοῦ
„ πρωτοπλάστου, καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος, τῷ πε-
„ σόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ, ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑ-
„ περέχουσαν παύτα νῦν εἰρήνην χαρίζεται.

Συνελθόντων ἀπείρων λαῶν, ὑπὸ Ἰωάννου βαπτισθῆναι, αὐτὸς ἐν μέσῳ ἔστη· προσεφώνει δὲ τοῖς παροῦσι· τίς ἔδειξεν ἀπειθεῖς, τὴν ὀργὴν ὑμῖν ἐκκλῖναι τὴν μέλλουσαν; καρποὺς ἀξίους Χριστῷ ἐκτελεῖτε· παρὼν γὰρ νῦν εἰρήνην χαρίζεται.

Γεωργὸς ὁ καὶ Δημιουργὸς, μέσος ἐστηκὼς ὡς εἷς ἁπάντων, καρδίας ἐμβατεύει· καθαρτήριον δὲ πτύον χειρισάμενος, τὴν παγκόσμιον ἄλωνα πανσόφως διΐστησι, τὴν ἀκαρπίαν φλέγων, εὐκαρποῦσιν αἰώνιον ζωὴν χαριζόμενος.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Παράδεισος τρυφῆς, ζωῆς ξύλον τὸν Κύριον, ἐδείχθητε μέσον ἔχων, τὸν ὑμῶν ὡς θυσίαν, τὸ αἷμα προσδεξάμενον.

Ἱμάτων τὰς χρυσὰς, τῶν δακρύων συνάψαντες, τοῖς ῥεύμασι Θεοφόροι, τὸν πολύμορφον ὄφιν, ἐν τούτοις ἐβυθίσατε.

Ἑρπυότητα Θεοῦ, καθορᾶν ἠξιώθητε, αἰώνιον εὐφροσύνην, αὐτὶ κόπων καὶ πόνων Μακάριοι εἰλήφατε.

Θεοτοκίον.

Ἐκύησας Θεὸν, ὑπὲρ λόγον καὶ ἔννοιαν, καὶ ἔμεινας μετὰ τόκον, ὡς πρὸ τόκου Παρθένος, Ἁγνὴ Θεοχαρίτωτε.

Ἄλλος. Ἰησοῦς ὁ ζωῆς ἀρχηγός.

Ὑπελθὼν τῶν Ἀββάδων χορὸς, ὁ ὀκτωδεκάριθμος ἄπαν, τὸ σάδιον τοῦ βίου, ἐν ἀγῶσί τε, καὶ συντόνοις δεήσεσι, τῶν Βαρβάρων τοῖς ξίφεσιν ἔκλιναν τὰς αὐχένας· διὸ διπλῶν στεφάνων, ἠξιώθησαν ἅμα ὑπὲρ πάντων πρεσβεύοντες.

Φαιδροτάτη ἡ μνήμη ὑμῶν, Ὅσιοι καὶ Μάρτυρες ὄντως· ὑμεῖς γὰρ ἐν Σιναίῳ, καὶ ἐν Ῥαϊθῷ, ἐν ἀσκήσει συζήσαντες, δι' ἀθλήσεως ἤρθητε Σκηναῖς Οὐρανίοις, ἔνθα μετὰ Ἀγγέλων τὰ ὑπέρθεα, ᾄδετε Θεῷ παρεστάμενοι.

Ρώμαλαῖος ὁ Παῦλος συνὼν, τοῖς ἐν Ραϊθῷ ἀσκεμένοις, ἀπεράντι Βαρβάρων αὐεδέδεικτο, καὶ ὑπόδειγμα γέγονεν ὡς πρωτεύων ἀθλήσεως, παρεσὼς ἐν μέσῳ· διὸ προφρόνως πάντες αὐεδέξαντο, Μαρτυείᾳ σέφη Οὐρανία.

Θεοτοκίον.

Ὁ Τὴν μνήμην δοξάσας Θεὸς, πάντων τῶν Ἁγίων Ἀββάδων, τῆς δόξης τῆς ἀῤῥήτε καταξίωσον, τοὺς δοξάζοντας σήμερον, ὃς αὐτὸς αὐτεδόξασας, ταῖς τῆς Θεοτόκε, πρεσβείαις τῷ λαῷ σε, χαριζόμενος λύτρωσιν, εἰρήνην, καὶ ἔλεος.

Καταβασία.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγός. καὶ τό,

„ Ἐχθρὸ ζοφώδης καὶ βεβορβορωμένε,
„ Ἰὸν καθάρσει Πνεύματος λελυμένοι,
„ Νέαν προσωρμίσθημεν ἀπλανῆ τρίβον,
„ Ἄγουσαν ἀπρόσιτον εἰς θυμηδίαν,
„ Μόνοις προσιτὴν, οἷς Θεὸς κατηλλάγη.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Ἡ Φωνὴ τὸ Λόγε, ὁ λύχνος τὸ φωτὸς, ὁ Ἑωσφόρος, ὁ τοῦ
„ Ἡλίε Πρόδρομος, ἐν τῇ ἐρήμῳ μετανοεῖτε πᾶσι βοᾷ τοῖς
„ λαοῖς, καὶ προκαθαίρεσθε· ἰδὲ γὰρ πάρεσι Χριστὸς, ἐκ φθορᾶς
„ τὸν Κόσμον λυτρέμενος.
„ Γεννηθεὶς ἀῤῥεύστως ἐκ Θεὸ καὶ Πατρὸς, ἐκ τῆς Παρθένε δίχα
σαρκὸς ταὶ ῥύπε Χριστός. ὃ τὸν ἰμαύτα τὴν ἐξ ἡμῶν τῷ Λόγε συναφειαν, λύειν ἀμήχανον, διδάσκει ὁ Πρόδρομος, γηγενεὶς ἐκ πλαύτης λυτρέμενος.

Ἐν πυρὶ βαπτίζει τελευταῖον Χριστὸς, τοὺς ἀπειθοῦντας, καὶ μὴ Θεὸν φρονοῦντας αὐτὸν, ἐν Πνεύματι δὲ καινοποιεῖ, δι' ὕδατος χάριτι, τοὺς ἐπιγνώμονας αὐτῷ τῆς Θεότητος, τῶν πλημμελημάτων λυτρούμενος.

Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.

Ῥήξαντες, προσπαθείας δεσμὰ δι' ἀσκήσεως, βιαιοτάτῳ θανάτῳ, τῶν δεσμῶν τὸ σώματος λύεθε, καὶ ἀλύτῳ, ἀγαπήσει δεσμεῖθε τὸ Κτίσαντος.

Ὡς ὄρη, ὑψηλῇ πολιτείᾳ δεικνύμενοι, τὸν καταλήψεσθαι ὄρη, καὶ τὴν κτίσιν πᾶσαν ἐπαπειλοῦντα, δυνασείᾳ, τῷ Χριστῷ τοῖς ποσὶν ὑπετάξατε.

Νᾶμασιν, ἀρδευθεύτες δακρύων Μακάριοι, γῆ ὡς καλήτε καὶ πίων, Μαρτυείᾳ σάχυν καρποφορεῖτε, ἀποθήκας, αἰωνίως Χριστῷ συντηρέμενον.

Θεο-

Θεοτοκίον.

Κοίμισον, τῶν παθῶν τῆς σαρκός με τὰ κύματα, τῇ ἀκοιμήτῳ σε Κόρῃ, ἱκεσίᾳ δέομαι, καὶ μὴ δῴης, ἁμαρτίας, ἀφυπνῶσαί με ὕπνον βαρύτατον.

Ἄλλος. Ἡ φωνὴ τὸ Λόγε.

Νῦν λαμπρῶς εὐφραίνε, ἡ σύναξις Σινᾶ ἡ σεβασμία, ὡς θησαυρὸν τὰ Λείψανα, Χριστὸ τῆς Νύμφης, καὶ τῶν Ἀββάδων, ἅμα ἀφλέκτῳ σεπτῇ, βάτῳ κατέχουσα. Ἰδὲ γὰρ πάρεσιν ὑμῖν, ἑορτὴ Ἀββάδων εὐφρόσυνος.

Ἰώσηφ, καὶ Ψωΐς, ὁ Παῦλος ὁ κλεινὸς, Ἱερεμίας, ὁ Ἡσαΐας, Σέργιος, σὺν Γελασίῳ καὶ Θεοδώλῳ, Νείλῳ, Μωσῇ καὶ λοιποῖς, ἀνευφημείθωσαν, Σιναΐε Μάρτυρες σεπτοὶ, καὶ Ἀββάδες προέσβεις εὐπρόδεκτοι. Δόξα.

Μεταναύτες γῆθεν, Ἀββάδες πρὸς Σκηνὰς ἐπουρανίες, ἀμέσως ἐποπτεύετε μετ' Ἀσωμάτων, καὶ τῶν Μαρτύρων τὸν ἐν Τειάδι Θεὸν Ὁσιομάρτυρες. Διὸ αἰτῶμεν ἐκ φθορᾶς σαῖς πρεσβείαις πάντας λυτρώσατε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Υἱὸς καὶ Λόγος, ὁ Ἅγιος Θεὸς ἐκ σᾶ Παρθένε, ἐπὶ τῆς γῆς ἐπέφανε, καὶ βαπτισθῆναι, ἐν Ἰορδανῇ ἦλθε ζητῶν δι' ἡμᾶς ὁ ἁμαρτήτος· ὃν ἐξιλέωσαι καὶ νῦν, τοῖς πιστοῖς τὰς νίκας δωρήσασθαι.

Καταβασία. Ἡ φωνὴ τὸ Λόγε. καὶ τό,

„ Ἰμερτὸν ἐξέφηνε σὺν πανολβίῳ,
„ Ἠχῷ Πατὴρ, ὃν Γαστρὸς ἐξηρεύξατο.
„ Ναί φησιν ἕτος, συμφυὴς γόνος πέλων,
„ Φώταυγος ἐξώρσεν αὐθρώπων γένος.
„ Λόγος τέ με ζῶν, καὶ βροτὸς προμηθείᾳ.

Κοντάκιον τῆς Ἑορτῆς. Ἦχος δ'.

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σε Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε, ἦλθες ἐφάνης, τὸ Φῶς τὸ ἀπρόσιτον.

Καὶ τῶν Ἁγίων. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐκ τῆς κοσμικῆς συγχύσεως ἐφύγετε, καὶ προὸς γαληνὴν κατάσασιν μετέσητε, Μαρτυείᾳ αἵμασι, καὶ ἀσκήσεως πόνοις σεφόμενοι· ὅθεν καὶ ἀνεδείχθητε Μαρτύρων, καὶ Ὁσίων ὁμόσκηνοι.

Ὁ Οἶκος.

Τὰ ἐπὶ γῆς νεκρώσαντες μέλη, ζωηφόρῳ νεκρώσει, τῷ Χριστῷ καὶ Θεῷ τὸ Πάθος ἐξεικονίσατε, πρότερον ἐν τῇ καλῇ ἀσκήσει,

σει, ϗ τὸ δεύτερον πάλιν ἐν τῇ ἀθλήσει· ὅθεν αὐτὸς ϗ διπλᾶς τὰς στεφάνας σὺν Ἀγγέλοις κατέπεμψε, ταῖς κάραις ὑμῶν Πατέρες, ἑτοιμάσας Σκηνὴν ἐπουράνιον, ϗ τόπον τὸν αἰώνιον· εὖθα νῦν ἀγαλλόμενοι ὤφθητε, Μαρτύρων, ϗ Ὁσίων ὁμάσκηνοι.

Τῷ αὐτῷ Μηνὶ, ΙΔ'. Μνήμη τῶν Ὁσίων ϗ Θεοφόρων Πατέρων ἡμῶν, τῶν ἐν Σινᾷ ϗ ἐν Ῥαϊθῷ ἀναιρεθέντων Ἀββάδων.

Στίχοι.

Σ Πάθαι τὸ φραίξαν ὧδε τὰς πολλὰς φόνας,
Τὸ δ' αὖ πεπονθὸς ἄνδρες ἀρετῆς φίλοι.
Ὡς φρὶν Ῥαχὴλ τὰ τέκνα, νῦν τὰς Ἀββάδας,
Κλαίει Ῥαϊθὼ, συγκεκομμένους πάθοις,
Ἀββάδας ἀμφὶ τετάρτῃ ϗ δεκάτῃ κτάνε χαλκός.

ΒΙΟΣ

ΒΙΟΣ ΚΑΙ ΑΘΛΗΣΙΣ

ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ

ΑΒΒΑΔΩΝ

ΤΩΝ ΕΝ ΣΙΝΑ, ΚΑΙ ΡΑΙΘΩ

Ἀναιρεθέντων ὑπὸ τῶν Βαρβάρων Βλεμμύων.

ΕΥΛΟΓΗΣΟΝ ΠΑΤΕΡ.

Γοῦν οἱ τελσμακάελοι ἀπηρνήθησαν τὸν Κόσμον, καὶ ἐκατοικῆσαν εἰς τὴν ἔρημον τὸ Σινᾶ ϗ τῆς Ῥαϊθῶ· μὲ τὸς ὁποίους ἦτον ϗ ὁ Μακάριος Νεῖλος, ὅς τις ἦτον πρότερον εἰς τὴν Κωνσταντινούπολιν Ἔπαρχος, ἄνθρωπος σοφὸς ϗ γραμματισμένος· ὅθεν ἀφήνωντας πᾶσαν εὐδαιμονίαν τῶ ματαίω Κόσμω, ϗ μισήσας ὅλα τὰ πρόσκαιρα, ἐπῆρεν ἕνα Γιὸν, ὁπῶ εἶχεν ὀνόματι Θεόδουλον, ϗ ὑπῆγεν εἰς τὴν ἔρημον. Ἐκεῖ δὲ ἦλθασιν οἱ βάρβαροι, ϗ ἐφόνευσαν ὅσους Ὁσίους ἐδυνήθησαν· ϗ τὸν μὲν Θεόδουλον μὲ ἄλλον ἕνα νέον ἐπήρασιν αἰχμαλώτους. Ὁ δὲ Νεῖλος ἔφυγεν, ὡς τις ἔγραψεν ὕστερον καταλεπτῶς τὴν αἵρεσιν τῶν Ὁσίων Πατέρων, ϗ ἐκεῖ διηγεῖται μὲ πολυλογίαν ὅλα τὰ συμβάντα, ἐξαιρέτως δὲ γράφει διὰ τὸν γόν τε, πῶς ὑπῆγε νὰ τὸν εὕρῃ ἐκεῖ, ὁπῶ τὸν ἐπώλησαν, τὴν ὁποίαν διήγησιν (τῶ Νείλε λέγω) διὰ νὰ εἶναι παλύλογος ἀφήκαμεν, ϗ γράφομεν ἄλλην, ὁπῶ ἔγραψεν ἄλλος τὶς ἐρημίτης, ϗ αὐτὸς ἐνάρετος, Ἀμμώνιος ὀνόματι, συνοπτικῶς ὅτω λέγωντας.

Καθεζόμενος ποτὲ εἰς τὸ ταπεινόν μου κελλίον πλησίον Ἀλεξανδρείας, εἰς τόπον καλούμενον Καΐοβον, μοῦ ἦλθε λογισμὸς νὰ ὑπάγω εἰς τὰ μέρη τῆς Παλαισίνης, διὰ δύο αἴτια· πρῶτον μὲν διὰ-

διατὶ δεν ἐδυνόμην νὰ βλέπω τὰς θλίψεις καὶ τὸς διαφόρους πειρασμὸς καὶ κινδύνους, ὁπὸ ὑπέμενον οἱ Χεισιανοὶ ἀπὸ τὸς ἀπίστους καὶ παρανόμους Τυράννους, καὶ ἐξόχως ὁ ἀγιώτατος Πέτρος ὁ Ἀρχιεπίσκοπός μας, ὅς τις ἔφευγε καὶ ἐκρύβετο ἀπὸ τόπον εἰς τόπον, καὶ δεν εἶχε ποσῶς τινὰ παῤῥησίαν, ἢ αἴσθησιν, νὰ ποιμαίνῃ τὰ λογικὰ πρόβατα, ἀλλ' ὥσπερ νὰ ἦτον λῃστής τις καὶ κακοποιός, ὅπως ἐκυνηγῶσαν αὐτὸν οἱ παράνομοι· δεύτερον δὲ εἶχα πόθον ἀνείκαστον, νὰ ἰδῶ τὸς Ἁγίους καὶ σεβασμίους Τόπους τῶν Ἱεροσολύμων, νὰ προσκυνήσω τὸν Τίμιον καὶ Παπάγιον Τάφον, καὶ τὴν ἄχραντον καὶ ζωοποιὸν Ἀνάστασιν τῦ Κυρίυ ἡμῶν Ἰησῦ Χεισῦ, καὶ τὸς λοιπὸς σεβασμίους τόπους, ὅπυ ἐκεῖνοι οἱ ἄχραντοι καὶ ἀκήρατοι Πόδες ἐπεριπάτησαν, καὶ ἐτέλεσε τὰ μεγάλα ἐκεῖνα καὶ θαυμάσια ἔργα ὡς Παντοδύναμος, ἐπειδὴ καὶ οἱ περισσότεροι Ἅγιοι τῆς Ἐκκλησίας μας (καθὼς εἰς τὸς βίους αὐτῶν τοῦ Συναξαρίου φαίνονται) εἶχασι τὸν ὅμοιον πόθον, νὰ ὑπάγωσιν εἰς Ἱεροσόλυμα, διὰ μισθὸν περισσότερον. Φθάσας ὅν ἐκεῖ, καὶ θεασάμενος ἐπροσκύνησα καθὼς ἐπόθυν ἅπαντας τὸς Ἁγίους Τόπους αὐτός, ἔπειτα ἠθέλησα νὰ ὑπάγω καὶ εἰς τὸ Ἅγιον Ὄρος τὸ Σινᾶ καλέμενον, διὰ νὰ προσκυνήσω καὶ ἐκεῖνο ὡς τόπον σεβάσμιον. Ἀρχίζωντας ὅν τὴν ὁδοιπορίαν εὕρηκα καὶ ἄλλυς τινὰς φιλοχείρυς συνοδίαν, ὁπὸ ὑπήγεναν καὶ αὐτοὶ εἰς αὐτὸ τὸ Ὄρος· καὶ περιπατῶντες ἡμέρας δεκαοκτὼ, ἐφθάσαμεν εἰς τὸν Ἅγιον ἐκεῖνον Τόπον μὲ τὴν θείαν βοήθειαν. Καὶ εὐξάμενος, ἔμεινα ἐκεῖ τινὰς ἡμέρας, διὰ νὰ ἀπολαύσω ὅλυς ἐκείνυς τὸς Ὁσίυς Πατέρας, καὶ ὑπήγεναν εἰς καθ' ἑνὸς τὸ κελλίον, διὰ νὰ ὠφεληθῶ ἀπὸ λόγυς τυς, ὅτι μεγάλας ἀρετὰς εἶχασιν ἐκεῖνοι οἱ θαυμάσιοι Ὅσιοι, καὶ αἱ πράξεις αὐτῶν ἦσαν ἄξιαι νὰ λάβῃ πᾶς ἑνὰς ἀπὸ αὐτὸς καλὸν ὑπόδειγμα, διατὶ ἐπορεύοντο μὲ πολλὴν σύνεσιν καὶ διάκεισιν εἰς τὴν διαγωγὴν καὶ ζωοτροφίαν τυς.

Οὗτοι οἱ Ὅσιοι ἐγύρευσαν εἰς ὅλην τὴν ἔρημον, καὶ ηὗρασιν ὀλίγυς τινὰς τόπυς, ὁπὸ νὰ ἠμποῦν νὰ δίδυν μικρὰν τροφὴν νὰ πορεύωνται, ἐπειδὴ εἶχασι νερὸν πρὸς αὐτάρκειαν, ὅτι αὐτὸ εἶναι ἀπὸ ὅλα ἀναγκαιότερον. Ἄλλοι μὲν ὅν ἔκαμαν καλύβας, καὶ ἄλλοι ἐκρύβοντο εἰς τὰ σπήλαια, ζῶντες οἱ περισσότεροι μὲ λάχανα ἄγρια, μὲ ῥίζαις χόρτων, καὶ ἀκρόδρυα, διὰ νὰ μὴ χασομερῶσιν εἰς τὴν θεραπείαν τῆς σαρκὸς, ψήνοντες ὀψάρια, ἢ μαγερεύοντες ὄσπρια, καὶ ἄλλα τοιαῦτα, νὰ ἀμελῶσι τὴν μέθυσαν βρῶσιν τῆς ψυχῆς, ὁπὸ εἶναι πλέον ἀναγκαία καὶ χρήσιμος· ὅσοι δὲ πάλιν εἶχασι δύναμιν καὶ χρᾶξιν εἰς τὰ γεωργικὰ, εἶχασι μικρὸν σκαλίδι, καὶ ἔσπερναν ὀλίγον σιτάρι, καὶ ἐγεωργῶσαν καὶ λάχανα, πλὴν ὅλοι ἐφύ-

ἐφύλαγαν ἐγκράτειαν, καὶ ποτὲ δεν ἐχόρταιναν, μόνον ἔτρωγαν ὅσον νὰ μὴν ἀποθάνωσιν ἀπὸ τὴν πολλὴν νηστείαν, καὶ ζημιωθῶσι τῆς ἀρετῆς τὸν μισθὸν καὶ ὠφέλειαν. Καὶ ἄλλοι μὲν ἔτρωγαν μόνον πᾶσαν Κυριακὴν, ἄλλοι δύο φοραῖς τὴν ἑβδομάδα, καὶ ἄλλοι κάθε δύο ἡμέρας μίαν φορὰν, καὶ ἁπλῶς πᾶς ἑνὰς ἔκαμνε τὸ δυνάμενον. Ἐκεῖ ποσῶς νόμισμα Καίσαρος δὲν εὑρίσκετο, ὅτι τινὰς δὲν ἀπόκτησεν ἄσπρα ὁλότελα, ὅτε τι ἠγόραζον, ὅτε ἐπώλυν, ἀλλὰ ἑνὰς τὸ ἄλλο ἐχάριζεν εἴτι ἐχρειάζετο μὲ ἀγάπην ἀνόθευτον. Εἴ τινος δὲ ἐλείπετο ἄρτος, ἢ λάχανον, ἢ ἀκρόδρυα, τὸ ἔδιδεν ὁ ἄλλος, ὁπὸ εἶχε, δείχνοντες πλυσίαν ἀγάπην εἰς μικρὰ πράγματα, καὶ ἐζῶσαν ζωὴν ὑπεράνθρωπον καὶ Ἀγγελικὴν κατὰ ἀλήθειαν. Φιλονεικία, ἢ φθόνος ποσῶς ἐκεῖ δεν εὑρίσκετο, νὰ βασκαίνῃ ὁ μικρὸς τὸ καλλιτέρυ, ὅτε νὰ ἐπαίρεται ὁ ἐναρετώτερος, μάλιστα δὲ καὶ ἐταπεινώνετο περισσότερον, ἐγνωρίζωντας ὅτι ὁ Θεὸς ἔδιδε τὴν δύναμιν, χωρὶς τὸ ὁποῖο δεν κατορθώνει τινὰς ἀρετὴν ὁλότελα· ὁ μικρότερος πάλιν ἐμέμφετο τὸ λόγυ τυ πῶς δεν ἐδύνετο νὰ κάμῃ ὡς τὸν πρῶτον, καὶ ἐκεῖνο δεν ἐφθόνει ποσῶς, ἀλλὰ μάλιστα καὶ τὸ καλόν τυ ἐχαίρετο, καὶ ὅλοι ἐσπούδαζον νὰ περισεύσῃ εἰς τὴν ἀρετὴν ἕνας τὸν ἄλλον τυς. Ὅτι διὰ τοῦτο ἀρνήθησαν τὸν Κόσμον, καὶ ἐκατοικῆσαν τὴν ἔρημον, νὰ ἠξεύρῃ μόνος ὁ Κύριος τὰ μεγάλα τυς κατορθώματα, ἀπὸ τὸν ὁποῖον ἐλπίζασι τὴν πληρωμὴν καὶ ἀνταπόμειψιν· ὅτι ὁ ἀνθρωπάρεσκος, ὁπὸ ὁρίζεται ἀπὸ τὸς ἀνθρώπυς ἔπαινον, ἐπῆρεν ἀπ' ἐδῶ τὸν μισθὸν τὸ κόπυ τυ, καὶ δεν τυ χρεωστεῖ ὁ Δεσπότης τίποτα. Εἶχασι δὲ τὰς καλύβας καὶ οἰκητήρια μακρὰν ἑνὰ ἀπὸ τὸ ἄλλο εἴκοσι σάδια, διὰ τὴν ἀγάπην τῆς ἡσυχίας, νὰ μὴ συγχύζῃ ἑνὰς τὸν ἄλλον τυς, καὶ μόνον πᾶσαν Κυριακὴν ἐσυνάγοντο εἰς τὴν Ἐκκλησίαν, καὶ ἐκοινώνυν τὰ Θεῖα Μυστήρια, καὶ ἔτρωγαν ἀνταμα κάμνωντας ὁ ἑνὰς διδαχὴν ὁ πλέον γραμματισμένος, νυθετῶν αὐτὸς νὰ προσέχυν ἀπὸ τὰς πανυργίας τῶν δαιμόνων, καὶ νὰ φυλάγωνται ἀπὸ τὺς ψυχοβλαβεῖς διαλογισμούς· ὅτι ὅσοι κάθονται εἰς τὴν ἔρημον λυτρώνονται μὲν ἀπὸ τειῶν αἰσθήσεων ἁμαρτήματα, τῆς γλώσσης, ὁπὸ δεν συντυχεύσιν ἀργολογίας, ὅτε ἀκύσιν, ὅτε βλέπυσι ψυχοβλαβῆ πράγματα· ἀμὴ ἀπὸ τὸς διαλογισμὸς πολεμῦνται μεγάλα, καὶ πρέπει νὰ προσέχυν ἀκριβῶς οἱ ἀγωνιζόμενοι, καὶ οἱ γραμματισμένοι, νὰ νυθετῶσι τὸς ἰδιώτας, νὰ μὴ τὸς νικῶσιν οἱ δαίμονες· ἐξόχως δὲ νὰ φυλάγυν ὅσον δύνονται τὴν ἐγκράτειαν, καὶ μάλιστα οἱ νεώτεροι· ὅτι ὅποιος χορταίνει τὴν κοιλίαν, εὔκολα πίπτει εἰς τὴν πορνείαν. Περισσότερον δὲ ἀπὸ τὰ λοιπὰ ἁμαρτήματα νὰ φυλάγωνται ἀπὸ τὴν ὑπερηφανίαν, ἥτις εἶναι

ναι χειρότερη ἀπὸ ὅλα τὰ ἐπίλοιπα ἀνομήματα. Μὲ ταῦτα ϗ ἕτερα ὠφέλιμα λόγια ἐνθετῆσαν ἀλλήλως οἱ πάνσοφοι, διάγοντες πολιτείαν ἰσάγγελον. Ναὶ κατὰ ἀλήθειαν, τοσοῦτον ἦσαν εἰς τὴν διαγωγὴν θαυμάσιοι, εἰς τὴν ὄψιν χλωμοὶ ϗ ἀδύναμοι ἀπὸ τὴν πολλὴν ἐγκράτειαν, ϗ εἰς τὸ εἶδος ϗ τὴν μορφὴν σεβάσμιοι, ὁπῶ ἔλαμπαν ὡς Οὐράνιοι Ἄγγελοι, ἐπειδὴ ἀπὸ ὅσα βρώματα δίδοσι τροφὴν ϗ σατάλην δεν εἶχασι· λάδι ποσῶς ἢ κρασὶ δεν ἐγεύοντο, ὅτε βρῶσιν ἐκλεκτὴν, εἰμὴ μόνον φοίνικας ϗ ἀκρόδρυα· εἶχασι δὲ εἰς τὸ κελλίον τῶ ϖροεσῶτος ὀλίγως ἄρτως διὰ τὴν Ἱερὰν Λειτουργίαν, ϗ διὰ τὸς ξένως νὰ τὸς φιλεύσῃ ὅταν ἤθελε τύχῃ νὰ ἔλθωσιν. Ὅταν ἔν ἔκαμα ἐκεῖ τινὰς ἡμέρας, ἔφθασεν ἐξαίφνης πλῆθος Σαρακηνῶν, ὅτι ὁ ἀρχηγός τος ἀπέθανεν. Ἐφόνευσαν ἔν ὅσως Ὁσίως οἱ ἀνόσιοι ἠῦρασιν εἰς τὰ ἐρημητήρια· ὅσοι δὲ εὑρέθησαν σιμᾶ εἰς τὸ Κυελακὸν, ἐσέβησαν μέσα εἰς τὸ τειχόκαστρον, ϗ ἐφυλάχθησαν μὲ τὸν ϖροεσῶτα, ὅς τις Δελᾶς ὠνομάζετο, καὶ ὄντως δᾶλος ἦτον τῶ Θεῶ κατὰ τὴν ἐπωνυμίαν ἐκεῖνος ὁ Ὅσιος, ὅτι πολλὴν μακροθυμίαν εἶχεν ὡς ἄλλος ὐδεὶς, ϗ θαυμάσιον πραότητα, ὅθεν ϗ πολλοὶ Μωϋσῆν αὐτὸν ἐπωνόμαζον. Ἀπέκτειναν ἔν οἱ βάρβαροι ὅσως Ὁσίως ἠῦρασιν εἰς Θραμβὴν, ϗ εἰς Χωρὴβ, ϗ Κηδὰρ, ϗ εἰς τὸς ἄλλως τόπως, ὁπῶ μᾶς ἐπλησίαζαν· ἔπειτα ἔφθασαν ϗ ἕως ἡμᾶς, ὁπῶ εἰμεθεν εἰς τὸ Ὄρος, ϗ παρ' ὀλίγον μᾶς ἐφόνευαν, ἐὰν δεν ἤθελε γενῇ μέγα σημεῖον ϗ θαυμάσιον· ὅτι ὁ φιλάνθρωπος Θεὸς, ὁπῶ βοηθᾷ ὅσως τὸν ἐπικαλῶνται ἐξ ὅλης τῆς διανοίας τος, ἐφρόσαξε ϗ ἐφάνη φλόγα μεγάλη ἐπάνω εἰς τὴν Ἁγίαν Κορυφὴν τῶ Σινᾶ, ϗ ἐβλέπαμεν ὅλον τὸ Ὄρος καπνιζόμενον, ϗ τὸ πῦρ ἕως τῶ Οὐρανῶ χεδὸν ἀνερχόμενον, ὅθεν ὅλοι μας καταπολλὰ ἐφοβήθημεν, ϗ πεσόντες ἐπὶ γῆς, ἐπαρακαλῶμεν τὸν Κύριον, νὰ μᾶς δώσῃ βοήθειαν. Ἰδόντες δὲ ϗ οἱ βάρβαροι τοιῶτον θαῦμα παράδοξον, ἔφυγον εὐθὺς, ἀφήνοντες τὰς καμήλως ϗ ἅρματα. Λοιπὸν ὡς τὸς εἴδαμεν πῶς ἔφευγον, ἐδοξάσαμεν τὸν Παναγαθον Κύριον, εὐχαριστῶντες τὴν εὐσπλαγχνίαντα, ϗ καταβαίνοντες ἀπὸ τὸν πῦργον ἐγυρέψαμεν ἐπιμελῶς πόσοι Πατέρες ἐσφάγησαν, ϗ εὑρέθησαν τελειωμένοι ὀκτὼ ϗ τεμάκοντα, ὁπῶ εἶχασι διαφόρως πληγὰς εἰς τὰ σώματα, ἀμὴ τὸν τρόπον τῶ θανάτε αὐτῶν δεν ἐμάθαμεν, ὅτι τινὰς δεν εἶδε τὰ γενόμενα. Ἀπὸ τὸς ὁποίως Ὁσίως εὕρομεν εἰς τὴν Θραμβὴν μόνον δώδεκα, ϗ οἱ ἐπίλοιποι ἦσαν ἀπὸ ἄλλως τόπως ϗ κελλία διάφορα· εὕρομεν δὲ ϗ δύο, ὁπῶ ἦσαν ἀκόμι ζωντανοὶ, Ἡσαΐας ϗ Σάββας ὀνομαζόμενοι. Ἐνταφιάσαμεν ἔν τὸς σφαγέντας μὲ θρῆνον ἄμετρον· ὅτι δεν ἦτον τινὰς

νὰς τόσον σκληρὸς ϗ ἀσπλαγχνος νὰ μὴ δακρύσῃ βλέπωντας Ὁσίως ἄνδρας, ϗ ἱερομωρεπεῖς γέροντας ἐλεεινῶς ἐρριμμένως ἐπὶ τῆς γῆς, νὰ ἔχωσι διαφόρως σφαγὰς ϗ πληγὰς εἰς τὰ ἅγια σώματα· ϗ ὁ μὲν εἶχε τὴν κεφαλὴν κρεμαμένην εἰς τὸ στῆθός τε ἔμϖροσθεν, ἄλλος ὀπίσω εἰς τὴν ῥάχην, καὶ ἐκράτει μόνον τὸ δέρματος, ἄλλος ἦτον ἀπὸ τὴν μέσην χωρισμένος εἰς δύο τμήματα, ἄλλος χωρὶς χεῖρας καὶ πόδας ἐκείτετο, καὶ ἄλλος ἄλλως ἐσφαγμένος, καὶ τὸ εἶχασι τὴν κοιλίαν χισμένην, καὶ ἐρριμμένα ἔξω τὰ σπλάγχνα οἱ ἄσπλαγχνοι. Καὶ τί νὰ πολυλογῶμεν; δὲν δύναται λόγος νὰ ἑρμηνεύσῃ καταλεπτῶς ὅσα εἴδαμεν. Ἀφ' ἧς λοιπὸν ἐνταφιάσαμεν ἐκεῖνα τὰ ἅγια ϗ μαρτυρικὰ Σώματα, ἐπιμελήθημεν τὸς δύο πληγωμένως ὡς ἐδυνήθημεν· ϗ ὁ μὲν Ἡσαΐας ἐτελειώθη ἐν Κυελῳ τὴν ἑσπέραν τῆς δευτέρας ἡμέρας· ὁ δὲ Σάββας ἔμεινεν ἀκόμη ζωντανὸς, ϗ εἴχαμεν ἐλπίδας σωτηρίας εἰς αὐτὸν, ὅτι δεν εἶχε τὴν πληγὴν πολλὰ ἐπικίνδυνον· ὅς τις ϗχαρίσα μεν τῷ Θεῷ εἰς τὰς θλίψεις, ὁπῶ τῶ ἦλθασιν, ἀμὴ πάλιν ἐλυπᾶτο, πῶς δεν ἠξιώθη ϗ αὐτὸς νὰ λάβῃ μὲ τὸς ἄλλους τὸν στέφανον, ὅθεν καὶ κλαίωντας ἔλεγεν· ἀϊ μοι τῷ ἁμαρτωλῷ ϗ ἀναξίῳ, ὁπῶ δεν ἠξιώθηκα καὶ ἐγὼ μὲ τὸν λοιπὸν χορὸν τῶν Ὁσίων Μαρτύρων τῆς αἰωνίε Μακαριότητος, μόνον τὸν λιμενα εἶδα τῆς Βασιλείας σε Κύριε, ϗ εἰς αὐτὸν δεν ἐσέβηκα ὡς ἀνάξιος, ἀλλὰ δέομαί σε, Θεὲ Παντοκράτορ, ὁπῶ ἀπέστειλας τὸν μονογενῆ σε Υἱὸν διὰ τὴν σωτηρίαν μας, μήμε χωρίσῃς ἀπὸ τὸς ϖροαποθανόντας Ἁγίως Πατέρας με, ὁ μόνος ἀγαθὸς ϗ φιλάνθρωπος, ἀλλὰ ἂς πληωθῇ εἰς ἐμενα ὁ ἀριθμὸς τῶν πεσαράκοντα δύλων σε· ναὶ Κύριε Ἰησοῦ Χριστὲ εὐδόκησον, νὰ μοῦ γενῇ αὕτη ἡ αἴτησις, ὅτι ἐκ μήτρας σε ἠκολούθησα, ϗ σὲ πολλὰ ἐπεπόθησα ὁ ἁμαρτωλὸς ϗ ἀκάθαρτος. Ταῦτα εὐξάμενος ὁ μακάριος, παρέδωκε ϗ αὐτὸς τὴν ἁγίαν τε ψυχὴν τὴν τετάρτην ἡμέραν μετὰ τὴν τῶν Ὁσίων πλειώσιν. Τότε δὲ ὁπῶ εἴχαμεν ἀκόμη τὴν λύπην εἰς τὴν ψυχὴν διὰ τὸς Ὁσίως, ϗ εἰς τὸς ὀφθαλμός μας τὰ δάκρυα, ἦλθε τὶς Ἰσμαηλίτης, ϗ λέγει μας, ὅτι ὅλοι οἱ Ἀσκηταὶ, ὁπῶ ἦσαν εἰς τὴν ἐσωτέραν ἔρημον, ὁπῶ ὀνομάζεται Ῥαϊθὼ, ἀπέθανον· ἔτος ὁ τόπος τῆς Ῥαϊθῶ εἶναι μακρὰν ἀπὸ τὸ Σίναιον Ὄρος ἕως ἡμερῶν δύο διάστημα, εἰς τὸς παραθαλασσίως τόπως τῆς ἐρυθρᾶς θαλάσσης, ὅπου εἶναι αἱ δώδεκα πηγαὶ τῶν ὑδάτων, κατὰ τὴν Γραφὴν, ϗ οἱ ἑβδομήκοντα φοίνικες, οἱ ὁποῖοι μὲ τὴν πολυκαιρίαν ἐπλήθυναν. Ἐρωτήσαμεν ἔν τὸν ἄνθρωπον νὰ μᾶς εἰπῇ τὸν τρόπον, πῶς ἀπέθανον οἱ Ὅσιοι, ϗ πόσοι ἦσαν, ϗ μᾶς εἶπεν ὅτι δεν ἤξευρε, μόνον ἡ φήμη ἔδραμε παντοχῶ, πῶς οἱ ἐκεῖσε Πα-

τέρες ἐσφάγησαν. Μετὰ δὲ τινὰς ἡμέρας ἦλθεν ἀπὸ τὴν Ραϊθᾶ εἰς τὸ Σίναιον Ὄρος εὐας Καλόγηρος, διὰ νὰ μείνῃ ἐκεῖ μὲ τὸ λόγε μας λέγωντας, ὅτι ἀπὸ τὸς Βλεμμύες ἠφανίθη ὁ τόπος τος· ὁ δὲ Ὅσιος Πατὴρ ἡμῶν Δολᾶς τὸν ἐδεξιώθη ἀσμενέως, καὶ τὸν ἐπαρεκάλεσε, νὰ μᾶς εἰπῇ ἀκριβῶς ὅλην τὴν ὑπόθεσιν διὰ τὸς Ὁσίους Πατέρας, πῶς ἐπολιτεύοντο, μὲ ποίας ἀρετὰς ἐσολίζοντο, καὶ μὲ τί τρόπον ἐφονεύθησαν· ὅς τις ἀπεκρίνατο λέγωντας· ἐγὼ τίμιε Πάτερ ἔχω μόνον ἐκεῖ χρόνες εἴκοσι, ἀμὴ εἶναι ἄλλοι, ὁπὸ ἔχασι τεσσαράκοντα, πεντήκοντα, καὶ ἑξήκοντα· ὁ τόπος εἶναι ὁμαλὸς ὅλος καὶ πεδιάσιμος, πολλὰ μακρὺς εἰς τὸ Νότιον μέρος, εἰς δὲ τὸ πλάτος εἶναι μίλια δώδεκα· κατὰ τὴν Ἀνατολὴν ἔχει βενὰ ὡς τειχόκαστρον, τὰ ὁποῖα κάμνεν ὅλον τὸν τόπον ἐκεῖνον ἀδιάβατον εἰς ὅσες δεὺ τὸν ἠξεύρασιν· εἰς τὸ Δυτικὸν μέρος ἔχει τὴν κόκκινην θάλασσαν, ἡ ὁποία φθάνει ἕως τὸν Ὠκεανὸν ποταμὸν ὡς λέγασιν· ἐπάνω δὲ τῆς θαλάσσης ταύτης εἶναι εὐα Ὄρος, ἀπὸ τὸ ὁποῖον εὐγενέσι βρύσες δώδεκα, πλῆθος φοινίκων ποτίζασαι. Εἰς αὐτὸ τὸ Ὄρος πολλοὶ ἀναχωρηταὶ ἐκατώκησαν, εἰς σπήλαια καὶ τρύπας τῆς γῆς, κατὰ τὸν Ἀπόσολον, ἔχοντες τὸ Κυριακὸν ὄχι ἐπάνω εἰς τὸ Ὄρος, ἀλλὰ ἐκεῖ πλησίον τε, ἄνθρωποι μεὺ κατὰ τὴν φύσιν γήϊνοι, ἀλλὰ εἰς τὰς ἀρετὰς ἦσαν ἰσάγγελοι· ἐπειδὴ τὴν πολιτείαν αὐτῷ ἐμιμοῦντο οἱ τελσμακάριοι, τῶν σωμάτων ὡς ἀλλοτρίων καταφρονήσαντες, καὶ τῶν ψυχῶν ἐπιμελόμενοι, οἵ τινες δεὺ εἶχασι μόνον μίαν ἀρετὴν, ἀλλὰ μὲ ὅλας ἦσαν ἐσολισμένοι καὶ εὔκοσμοι, τῶν ὁποίων ἐαὺ θελήσω νὰ διηγηθῶ τὰς ἀγῶνας καὶ τὰς πειρασμὰς, ὁποῦ τὰς ἔκαμαν οἱ δαίμονες, δεὺ θέλω δυνηθῇ διὰ τὸ πλῆθος καὶ ἀμετρίαν τος, μόνον νὰ σᾶς εἰπῶ διὰ εὐα, ἢ δύο, διὰ νὰ μάθετε ὅτι καθὼς ἦσαν ἔτοι εἰς τὴν ἀρετὴν, κατὰ τὸν ὅμοιον τρόπον καὶ οἱ ἄλλοι ἐπολιτεύοντο. Μωϋσῆς τὶς ἦτον ἀπὸ τὴν Φαραὼ, καὶ ἔγινεν ἀπὸ μικρὸν παιδίον Καλόγηρος, καὶ ἔκαμεν εἰς τὸ Κυριακὸν πλησίον, οχ'. χρόνες εἰς εὐα σπήλαιον, δεύτερος Ἠλίας κατὰ ἀλήθειαν, ὅτι ὅσα ἐζήτει τὸ Θεὸ καὶ αὐτὸς ἐλάμβανε, καὶ τὸ ἔδωσε χάριν νὰ κάμνῃ θαυμάσια. Ὅθεν πολλὲς ἀθενεῖς καὶ δαιμονισμένες ἰάτρευσε, καὶ ὅλον τὸν λαὸν χεδὸν τῶν Ἀγαρηνῶν, ὁπὸ ἐκατοικῶσαν εἰς τὰ ὄρια τῶν Ἰσμαηλιτῶν καὶ εἰς τὴν Φαραὼ, ἔκαμε Χριεσιανὲς ὁ τρισόλβιος, ὅτι βλέποντες τὰ σημεῖα καὶ τέρατα ὁπὸ ἔκαμνεν, ἐπίσευον εἰς τὸν Χεισὸν, καὶ ἐβαπτίζοντο. Οὗτος ὁ Ὅσιος Μωϋσῆς δεὺ ἔφαγε ψωμὶ ἀπὸ τὴν ἡμέραν ὁπὸ ἠσύχασεν, ἀλλὰ μόνον μὲ ὀλίγες φοίνικας καὶ βραχύτατον ὕδωρ ἐτρέφετο· ἠγάπα δὲ τὴν ἡσυχίαν περισσότερον ἀπὸ ἄλλον κανεύα· ὑπεδέχετο καθ' εὐα

εὔα μὲ ἱλαρὸν πρόσωπον, καὶ τὸς ἔδιδεν ἀπόκρισιν κατὰ τὴν ἐρώτησιν ἁρμόδιον, καὶ ἔπερναν ὅλοι ἀπὸ τὰ λόγιά τε πολλὴν ὠφέλειαν. Ἀφ' ἑσπέρας δεὺ ἐκοιμᾶτο ἕως τὴν ὥραν τῶ Ὄρθρε, ἀλλὰ προσηύχετο δοξάζων τὸν Κύριον. Ὅλην τὴν Ἁγίαν Τεσσαρακοσὴν δεὺ ἄνοιγεν ἕως τὴν μεγάλην Πέμπτην τὴν θύραν τῶ κελλίε τε, καὶ μέσα δεὺ εἶχεν ἄλλην τροφὴν, εἰμὴ μόνον εἴκοσι φοίνικας καὶ εὔα σαμνάκι νερόν, τὰ ὁποῖα πολλᾶς φορᾶς εὑρίσκοντο πάλιν σωτὰ ὅταν ἤνοιγε, καθὼς ὁ ὑπηρέτης τε ἔλεγεν. Αὐτὴν τὴν Ἁγίαν Τεσσαρακοσὴν ἐδαιμονίθη ὁ ἀρχηγὸς τῶν Ἰσμαηλιτῶν Ὀβεδιανὸς ὀνόματι, τὸν ὁποῖον ἔφερον ἀπὸ τὴν Φαραὼ πρὸς τὸν Ὅσιον νὰ τὸν ἰατρεύσῃ, καθὼς ἐδίωξεν ἐν εὐκολίᾳ καὶ ἄλλα δαιμόνια· καὶ ὅταν ἦτον ἀκόμη μακρὰν ἀπὸ τὸ κελλίον τε εὔα σάδιον, τὸν ἐτάραξε δυνατὰ τὸ δαιμόνιον, καὶ ἐφώναζε λέγοντας· ὦ βία! ὐδὲ κᾶν ὀλίγην ὥραν ἐδυνήθηκα νὰ ἐμποδίσω τοῦτον τὸν κακόχηρον ἀπὸ τὸν κανόνα τε. Ταῦτα εἰπὼν, εὐγῆκεν εὐθὺς ὁ μισάνθρωπος· ὁ δὲ ἄνθρωπος, ὁ λυτρωθεὶς τῶ δαίμονος, ἐπίσευσε τῷ Χεισῷ, καὶ μὲ ἄλλες πολλὲς ἐβαπτίθησαν. Εἶχα καὶ ἄλλα πολλὰ νὰ εἰπῶ δι' αὐτὸν, ἀλλὰ σιωπῶ, ἐπειδὴ δεὺ εἶναι καιρὸς διὰ πολυλογίαν. Τοῦτο τῶ μακαρίε Μωϋσέως ἔγινε μαθητὴς εὔας ἀπὸ τὰ μέρη τῆς Θηβαΐδος Ψώης ὀνόματι, ὅς τις ἐκάθητο εἰς ἄλλο κελλίον παραπάνω τῶ γέροντος, καὶ τόσον ἐμιμεῖτο τὸν διδάσκαλον, ὁπὸ ἐπῆρεν ὅλαις τε ταῖς ἀρεταῖς, καθὼς πέρνει τὸ κερὶ τὸν τύπον τῆς σφραγίδος πληρέσατα. Μετ' αὐτῶ ἔκαμα καὶ ἐγὼ μερικὸν καιρὸν ὁ Ἀνάξιος· ἔπειτα μὴ δυνάμενος νὰ ὑπομεύω τὴν πολλὴν σκληραγωγίαν τῆς πολιτείας αὐτῶ, ἀνεχώρησα. Τοῦτον τὸν θαυμάσιον ἔσφαξαν μὲ τὸς ἄλλους οἱ βάρβαροι, τῶν ὁποίων Ὁσίων τὰς ἀρετὰς δεὺ ἔχω ἄδειαν νὰ σᾶς διηγηθῶ σήμερον. Μόνον εὔα ἔργον εὐὸς Ἁγίε ἀνδρὸς νὰ σᾶς εἰπῶ μὲ βραχύτητα, ὅτι ἁμαρτίαν ἔχω ἐαὺ σιωπήσω τοιοῦτον φοβερὸν καὶ παράδοξον θέαμα. Οὗτος ὠνομάζετο Ἰωσὴφ, τὸ γένος Λίλήσιος, ἔμενε μακρὰν ἀπὸ τὸ νερὸν δύο μίλια εἰς τὴν πεδιάδα, ἄνθρωπος πολλὰ διακριτικὸς, ἅγιος, καὶ τέλειος εἰς ὅλα, καὶ πεπληρωμένος θείας χάριτος, ἔχωντας εἰς αὐτὸν τὸν τόπον χρόνες τελάκοντα, ἔκτισε μοναχός τε τὴν κέλλαν τε, εἶχε μαθητὴν, ὁπὸ ἐκατοίκα εἰς ἄλλο κελλίον πλησίον τε. Πρὸς τοῦτον τὸν Ἅγιον Ἰωσὴφ ἦλθε τὶς ἀδελφὸς νὰ τὸν ἐρωτήσῃ λόγον τινὰ, καὶ κράσας τὴν θύραν, δεὺ ἀπεκρίθη· ὅθεν παρακύψας ἀπὸ μίαν τρύπαν, εἶδεν αὐτὸν προσευχόμενον, καὶ ἦτον ὅλος ἀπὸ τὴν κεφαλὴν ἕως τὰς πόδας ὡς φλόγα πυρός. Ταῦτα βλέπων ἔμεινεν ἀπὸ τὸν φόβον τε ὅλος ἔντρομος, καὶ ἔπεσεν εἰς τὴν γῆν, καὶ ἐκείπετο μίαν ὥραν ἀκίνητος ὡς παράλυτος. Ἔπει-

πετα πάλιν ἐγερθεὶς ἐκάθισεν εἰς τὸ φρόθυρον· ὁ δὲ Ἅγιος Γέρων ἐχόλαζεν εἰς τὴν θεωρίαν, καὶ δὲν ἐγνώρισε τὰ γενόμενα. Ὅταν δὲ ἐπέρασαν ὥραις πεύτε, τὸ ἐφανὴ πάλιν ὁ Ἅγιος ὡς ἄνθρωπος, καὶ ἀνοίξας τὴν θύραν, ἐπῆρε μέσα τὸν ἀδελφόν, καὶ καθίσαντες ἠρώτησεν αὐτὸν πότε ἦλθεν· ὁ δὲ ἀπεκρίνατο· ἔχω πολλὴν ὥραν ὁπὸ ἦλθα, ἀμὴ δὲν ἐκτύπησα, διὰ νὰ μή σε δώσω ἐνόχλησιν. Ἐκατάλαβεν ἔν ὁ Ἅγιος ὅτι ἐγνώρισεν ὁ ἀδελφὸς τὴν ὑπόθεσιν, ἀμὴ δεν τε εἶπε τίποτα, μόνον εἰς ὅσα τὸν ἠρώτησε τὸ ἀπεκρίθη πληρέσατα, καὶ ἰατρεύσας τὸν λογισμὸν αὐτὸ, τὸν ἀπέλυσεν. Ἔπειτα ἐμίσευσεν ἀπ' ἐκεῖ διὰ νὰ φύγῃ τὸν ἀνθρώπινον ἔπαινον καὶ δόξαν τὴν φρόσκαιρον. Ὕστερον δὲ ἦλθεν ὁ μαθητής τε τὴν κλῆσιν Γελάσιος, καὶ γυρεύωντάς τον εἰς διαφόρες τόπους ἐπιμελῶς, δέντον εὕρηκεν· ὅθεν ἔμεινεν εἰς τὸ κελλίον τὸ γέροντος· καὶ μετὰ χρόνες ἔξ ἐκτύπησε τὶς τὴν θύραν, καὶ εὐγενώντας ὁ Γελάσιος βλέπει τὸν Ἀββᾶ αὐτοῦ ἱσάμενον, καὶ ἐφοβήθη θαῤῥῶντας πῶς ἦτον δαιμόνιον· ὅμως διὰ νὰ βεβαιωθῇ τὴν ἀλήθειαν, τὸ εἶπε νὰ κάμῃ φροσευχὴν, καὶ ὅταν ἔκαμε σαυρὸν, τὸν ἐδέχθηκε χαίρωντας. Φιλήσαντες ἔν εἷας τὸν ἄλλον, εἶπεν ὁ γέρωντας· καλὰ ἔκαμες τέκνον νὰ ζητήσῃς εὐχὴν, ὅτι πολλοῖς εἶναι ἡ παγίδες τὸ δαίμονος. Λέγει τον ὁ Γελάσιος· διατί με ἀφῆκες ὀρφανὸν Πάτερ τίμιε, καὶ εἶχα θλίψιν ἀνείκασον; Λέγει τον ὁ γέρων· τὸ μὲν αἴτιον πῶς δεν ἐφαίνομεν, ἠξεύρει ὁ Κύριος· ὅμως δεν ἔλειψα ἀπὸ τῶτον τὸν τόπον ἕως τὴν σήμερον, ὅτε ἐπέρασε κάμμία Κυριακὴ, νὰ μὴν ἦμαι καὶ ἐγὼ εἰς τὴν Ἐκκλησίαν, καὶ ἐκοινώνων τὰ Θεῖα Μυστήρια. Ἐθαύμασεν ὁ Γελάσιος πῶς εἰσερχόμενος ὁ γέρων καὶ ἐξερχόμενος ἔμενεν ἀόρατος, καὶ τινὰς δεύτον ἔβλεπε. Λέγει τε πάλιν ὁ μαθητής· καὶ τώρα διατί ἐφανῆς πρὸς τὸν δοῦλόν σε; Ὁ δὲ ἀπεκρίνατο· ἐπειδὴ τέκνον σήμερον χωρίζομαι ἐκ τὸ σώματος, καὶ ὑπάγω φρὸς τὸν Δεσπότην μς, ἦλθα νὰ σὲ ἀφήσω τὸ λείψανόν μς, νὰ τὸ ἐνταφιάσῃς ὡς βέλεσαι. Πολλὰ γὰν ὠφελήσας τὸν μαθητὴν, καὶ ὡμιλήσας περὶ ψυχῆς καὶ αἰωνίε μακαριότητος, παρέδωκεν ἐν εἰρήνῃ τῷ Θεῷ τὴν ψυχὴν ὁ θαυμάσιος. Ὁ δὲ Γελάσιος ἐσύναξεν ὅλες τὲς Ἀσκητὰς, καὶ τὸν ἐφέραμεν εἰς τὸ Κυριακὸν μὲ ψαλμῳδίαις καὶ θυμιάματα· ἔλαμψε δὲ τὸ φρόσωπον αὐτὸ ὡς ὁ ἥλιος· καὶ τότε τὸν ἐνταφιάσαμεν μὲ τὲς ἄλλες Ἁγίες Πατέρας. Εἶχα νὰ σᾶς εἰπῶ καὶ διὰ τὲς ἄλλες διάφορα διηγήματα, ἀμὴ διατὶ σᾶς βλέπω καὶ ἔχετε πόθον νὰ ἀκέσετε διὰ τὴν σφαγὴν αὐτῶν, συντέμνω τὸν λόγον, καὶ ὃς ἔχω συγχώρησιν. Τοιῶτοι γὰν ἦσαν οἱ Ὅσιοι, θαυμάσιοι Πατέρες καὶ πλεῖσα ἐναρετοι, ὑπομεύοντες ἀν-

δρείως

δρείως πᾶσαν ξενοχωρίαν τῆς ἐρήμε καὶ κακοχίαν τὸ σώματος, καὶ χολάζοντες καθ' ἑκάσην εἰς δέλευσιν τὸ Κυρίε μὲ τὴν φροσευχὴν καὶ δέησιν. Ἦσαν δὲ τὸν ἀριθμὸν, μγ'. οἱ τεσόλβιοι τῶν ὁποίων τὸς ἀγῶνας, καὶ τὴν ὑπερβάλλεσαν ἄσκησιν, καὶ τὰ παλαίσματα καὶ τρόπαια κατὰ τῶν δαιμόνων ὁ κρυφιογνώστης Θεὸς τὰ ἠξεύρει, ὁπὸ δίδει καθ' ἑνὸς πλεσίας τὰς ἀμοιβὰς τῶν ἀγώνων τε. Οὕτως ἔν πολιτευομένων, ἦλθασιν ἀπὸ τὰ μέρη τῆς Αἰθιοπίας τρεῖς ἄνθρωποι, καὶ μᾶς εἶπασι πῶς ἦλθασιν οἱ Βλέμμυοι εἰς εὔα λιμένα, καὶ νὰ φυλαχθῶμεν ὀλίγας ἡμέρας νὰ μή μας κακοποιήσωσιν. Ἡμεῖς ἔν ἐβάλαμεν ἀνθρώπες νὰ φυλάγεσι φρὸς τὴν θάλασσαν· καὶ τὴν δευτέραν νύκτα εἴδομεν τὸ πλοῖον ὁπὸ ἤρχετο· ὅθεν οἱ μὲν λαϊκοὶ, ὁπὸ κατοικῶσιν εἰς τὴν Φαρὰ καὶ Ῥαϊθὼ, ἡτοιμάθησαν φρὸς πόλεμον, ἀφήνοντες εἰς εὔα τόπον τὰς καμήλες, τὰς γυναῖκας, καὶ τὰ παιδία τες· ἡμεῖς δὲ ὑπήγαμεν εἰς τὴν Ἐκκλησίαν, καὶ ἐδεόμεθεν τῷ Θεῷ, νὰ κάμῃ τῆς ψυχῆς μας τὸ συμφερώτερον. Ὅταν ἔν ἔφθασαν εἰς τὸν λιμένα πλησίον τὸ Ὄρες οἱ βάρβαροι, ἔμειναν ἐκεῖ τὴν νύκτα, καὶ τὸ ταχὺ εὔγαλαν ὅλες τὲς ναύτας ἀπὸ τὸ καράβι, καὶ τὲς ἔδεσαν χεῖρας καὶ πόδας διὰ νὰ μὴ φύγωσιν· εἰς δὲ τὸ πλοῖον ἀφήκασι μόνον εὔα ναύτην, καὶ εὔα τες σύντροφον διὰ φύλαξιν· καὶ ἀναβαίνοντες οἱ βάρβαροι εἰς τὰς πηγὰς τῶν ὑδάτων, ἠῦρασιν ἐκεῖ τὲς Χεισιανὲς, καὶ ἔκαμαν πόλεμον· πλὴν ἐπειδὴ οἱ ἐδικοί μας ἦσαν μόνον διακόσιοι, καὶ οἱ βάρβαροι τελακόσιοι, καὶ φρακτικότεροι εἰς τὸν πόλεμον, ἐνίκησαν αὐτὲς, καὶ ἐφόνευσαν, ρμζ'. καὶ οἱ ἐπίλοιποι ἔφυγαν καὶ ἐκρύβησαν ἄλλοι εἰς τὸ Ὄρος, καὶ ἕτεροι εἰς τὲς φοίνικας· οἱ δὲ βάρβαροι ἐπήρασι τὰς γυναῖκας καὶ τὰ παιδία· καὶ ἀφήνοντες αὐτὲς εἰς ταῖς βρύσαις, ἦλθασι φρὸς ἡμᾶς τρέχοντες ὡς θηρία ἀνήμερα, νομίζοντες πῶς θέλαν εὕρει πλᾶτον ἄμετρον. Κυκλώσαντες ἔν τὴν Ἐκκλησίαν, ἐφώναζαν ἄτακτα καὶ ἄγρια· ἡμεῖς δὲ ἀκέοντες τὰς φοβερὰς ἐκείνας φωνὰς, ἐσέκωμεν εὔτρομοι, ὑψώσαντες φρὸς τὸν Θεὸν τὰς χεῖρας καὶ ὄμματα, μὲ πολλὴν θλίψιν καὶ θρῆνον εὐχόμενοι· ἕτεροι δὲ, δεν ἐφοβήθησαν, ἀλλὰ ἐσέκοντο ἀγαλλόμενοι· ἄλλοι πάλιν ἔκλαιον τρέμοντες· καὶ ἁπλῶς ὅλοι ἐκράζαμεν τὸ, Κύριε ἐλέησον. Ὁ δὲ φροεσώς μας ἦτον ἀπὸ τὴν Πάτραν, Παῦλος ὀνόματι· καὶ σαθεὶς εἰς τὸ μέσον τῆς Ἐκκλησίας εἶπε ταῦτα φρὸς ἡμᾶς μὲ φαιδρὸν καὶ πασίχαρον φρόσωπον. Ἠξεύρετε καλὰ, Πατέρες μς Ἅγιοι, ὅτι διὰ τὴν ἀγάπην τὸ Χεισὸ ἐφύγαμεν ἀπὸ τὸν Κόσμον τὸν φθαρτὸν καὶ μάταιον, καὶ ἤλθαμεν εἰς τὴν σκληρὰν ταύτην καὶ δύσβατον ἔρημον, διὰ νὰ συκώσωμεν τὸν ζυγὸν αὐτὸ τὸν ἐλαφρὸν καὶ γλυκύτατον, μὲ πεῖναν καὶ δίψαν,

καὶ

καὶ ἄλλαις πολλαῖς ἐνοχωρίαις, καταφρονῶντες ὅλα τὰ σαρκικὰ θελήματα διὰ νὰ μᾶς ἀξιώσῃ τῆς Βασιλείας τε. Λοιπὸν, ἐὰν εἶναι ὁρισμός τε νὰ μᾶς λυτρώσῃ τώρα ἀπὸ τὸς κόπους καὶ βάσανα, καὶ ἀπὸ τὴν ματαίαν ζωὴν ταύτην, νὰ μᾶς ἀναπαύσῃ αἰώνια, δὲν πρέπει νὰ λυπηθῶμεν ἢ νὰ σκυθρωπάσωμεν ὁλότελα, ἀλλὰ μάλιστα νὰ εὐφραινθῶμεν ἀγαλλιώμενοι· ἐπειδὴ δὲν εἶναι ἄλλο γλυκύτερον καὶ ποθεινότερον, ὡσὰν νὰ βλέπωμεν τὸ θεῖον αὐτῦ καὶ ὡραιότατον Πρόσωπον. Ἐνθυμᾶσθε πολλαῖς φοραῖς ὅταν ἠκούαμεν κανένα βίον Ὁσίου, ἢ Μάρτυρος, πῶς ἐποθούσαμεν νὰ γένωμεν αὐτῶν εἰς τὰς θλίψεις καὶ εἰς τὴν δόξαν συμμέτοχοι; ἰδὲ λοιπὸν ἦλθεν ἡ ὥρα κατὰ τὸν πόθον μας, νὰ συνδοξασθῶμεν μετὰ τῶν Ἁγίων αἰώνια. Λοιπὸν μὴ δειλιάσῃ τινάς μας διὰ τὸν Κύριον, ἀλλὰ ἂς ὑπομείνωμεν ἀνδρείως τὸν θάνατον· ἐπειδὴ ὁ πόνος εἶναι ὡς ἐν ῥοπῇ ὀφθαλμῦ, καὶ εἰς μίαν στιγμὴν παρέρχεται· ἡ δὲ ἀνταπόδοσις καὶ ἀπόλαυσις παντοτινὴ καὶ αἰώνιος, νὰ συναγαλλώμεθεν μετὰ τῶν Ἁγίων Μαρτύρων εἰς τὴν Οὐράνιον Βασιλείαν ἀεὶ εὐφραινόμενοι. Τότε ἀπεκρίθησαν ὅλοι λέγοντες ὡς ἐξ ἑνὸς στόματος· ναὶ Πάτερ τίμιε καθὼς ὥρισες, ἔτω νὰ κάμωμεν, νὰ πίωμεν ἀγαλλιώμενοι τὸ σωτήριον ποτήριον, εὐχαριστῆντες τὸν Κύριον. Στραφεὶς ἔν κατ' ἀὐτολὰς ὁ ἁγιώτατος ἐκεῖνος Παῦλος, καὶ τῷ Παύλῳ συνόμιλος καθὰ καὶ συνώνυμος, ἔτω προσηύξατο. Κύριε Ἰησῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ μόνος ἀγαθὸς καὶ παντοδύναμος, ἡ ἐλπὶς πάντων ἡμῶν καὶ βοήθεια· μὴ μας ἀσχήσῃς τῶν δέλωνσε, ἀλλὰ ἐνθυμήσε τῆς πτωχείας μας, καὶ δός μας ταύτην τὴν ὥραν τῆς ἀνάγκης δύναμιν, καὶ πρόσδεξαι τὰς ψυχὰς ἡμᾶς εἰς ἀσμὴν εὐωδίας ὡς θυσίαν εὐάρεσον, ὅτι σοὶ μόνῳ πρέπει τιμὴ καὶ δόξα, νῦν καὶ ἀεὶ, καὶ εἰς τὸς αἰῶνας τῶν αἰώνων· καὶ λέγοντες ἡμεῖς τὸ, ἀμὴν, εὐγῆκε φωνὴ ἀπὸ τὸ Ἅγιον Βῆμα λέγουσα· „Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, „κἀγὼ ἀναπαύσω ὑμᾶς“. Ταύτην τὴν φωνὴν ἀκούσαντες, ἐτρομάξαμεν, καὶ αἱ καρδίαι μας ὁλανῶν καὶ τὰ γόνατα παρελύθησαν· ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σάρξ ἀσθενὴς, ὡς εἶπεν ὁ Κύριος. Καὶ ἀπελπίσαντες τῆς ζωῆς ταύτης, ἐστρέψαμεν πρὸς Οὐρανὸν τὰ πρόσωπα· οἱ δὲ βάρβαροι μὴ ἔχοντες τινὰ ἀντιμαχόμενον, ἔβαλαν ξύλα μακρὰ, καὶ ἀνέβησαν τινὲς εἰς τὸ τεῖχος, καὶ εἰσελθόντες ἄνοιξαν τὰς θύρας, καὶ ἐσέβηκαν ὅλοι ὡς θηρία ἄγρια, κρατῆντες εἰς τὰς χεῖρας γυμνὰ τὰ σπαθία τος, καὶ πρῶτον ἀπὸ ὅλος ἐκράτησαν ἕνα Ἱερεμίαν καλόμενον. Καὶ λέγουσιν αὐτῷ μὲ τὸν ἑρμηνέα τος· δεῖξαί μας τὸν προεσῶτά σας· ἐκεῖνος δὲ ὁ ἀείμνηστος δὲν ἐδειλίασε ποσῶς, ἀλλὰ τὸς ἀπεκρίθη ἀπόκοτα λέγωντας· ὅτε φο-

